1—4 Sui., vgl. B 327, 22 (kürzer) zwei Teile: 1) bis σεβάσμια A (erweitert) Hes.; 2) attizistisch (etwa zu Thuk. 2, 43), zunächst: ἀγήρων und ἀγήρω sind für den Akkusativ gleich gut, dann abweichende Ansichten **5—7** B 337, 13 **8. 9** B 329, 9 aus Harp. **10** B 328, 1 A Sui. **11** B 328, 3 A Sui. Hes. **12. 13** B 337, 16 **14** B 325, 24 A Sui. **15** B 328, 4 A Sui. Schol. Plat. Axioch. 371 d **16** B 328, 5 A Sui. **17** 328, 7 A Sui. **18—21** B 337, 19 (mehr) aus Pausanias vgl. Eustath. 1283, 42 (vgl. 1162, 37) Schwabe p. 90 — Et. gen. nach θρέμματων: ἀγκαλιδοφόροι δὲ αὐτοὶ οἱ φέροντες, ἀγκαλιδοπῶλαι δὲ οἱ πιπράσκοντες (ohne Quellangabe) **22** B 328, 8 A Sui. Hes. **23. 24** B 337, 25 **25. 26** B 335, 21

---

6 ἄθρει *b* 7 ἄγεα *b* 14 Ἀγειοχώς A 18 Ἀγγαλιαγωγοί zu ἀγκ. *b* Ἀγκαλιαγωγοί auch Et. gen. ἀγγαλίδας zu ἀγκ. *b* 19 ἀγγαλιαγωγοῖς zu ἀγκ. *b*

Ἀγκιστρεύει· δελεάζει.

Ἀγκράτος ἐλαύνω εἶπε Ξενοφῶν (An. I 8, 1) κατὰ συγκοπὴν ἀντὶ τοῦ ἀνὰ κράτος. σὺ δὲ ἄμεινον ποιήσεις μὴ χρώμενος τῇ λέξει.

Ἀγκύλη· ἀκόντιον, καὶ τοῦ ἀγκῶνος ἡ καμπή, καὶ ἡ δεξιὰ χείρ. ὅθεν καὶ τὰ δόρατα ἀγκύλητά τε καὶ μεσάγκυλα ἐκάλουν. λέγεται καὶ εἶδος ποτηρίου, ᾧ ἐχρῶντο πρὸς τὴν τῶν κοττάβων παιδιάν. ἀλλὰ καὶ ἡ πρὸς κότταβον ἐπιτηδεία κύλιξ διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τῇ προέσει. ἦν γὰρ τοῖς παλαιοῖς πεφροντισμένον καλῶς καὶ εὐσχημόνως κότταβον προΐεσθαι. ὠνομάσθη οὖν ἀπὸ τοῦ τῆς χειρὸς σχηματισμοῦ, ὃν ποιούμενοι προθύμως ἐρρίπτουν εἰς τὸ κοττάβιον. ἔστι δὲ καὶ εἶδός τι ἅμματος, ὡς Ἄλεξις Ἀχαΐδι (fr. 31)· 'ἀγκύλην τῆς ἐμβάδος οὐ καλῶς ἔσφιγξας λυθεῖσαν.' ἐχρήσαντο καὶ ἄλλοι τῇ λέξει.

Ἀγκύλη καὶ Ἀράφη· δῆμος Αἰγηΐδος.

Ἀγκύλια· οἱ κρίκοι τῶν ἁλύσεων.

Ἀγκυλομῆται· σκολιόβουλοι.

Ἀγκύλον· καμπύλον, ἐπικαμπές.

⟨Ἀ⟩γκυλόχειλος· σκολιόχειλος.

Ἄγκυραι· ἐκ μεταφορᾶς αἱ ἀσφάλειαι. Σοφοκλῆς (fr. 623)· 'ἀλλ' εἰσὶ μητρὶ παῖδες ἄγκυραι βίου'.

Ἄγλαι· ὄμμα. Εὐριπίδης (fr. 1122).

Ἀγλαΐα· λαμπρότης.

Ἀγλαόκοιτος· πάνυ τίμιος.

Ἀγλαότιμον· λαμπρόν, τετιμημένον.

---

1 B 329, 1 Sui. Hes. **2. 3** B 337, 27 aus Phrynichos **4—13** B 337, 30 zwei Teile 1) bis κοττάβιον (10) aus Herodians Symp. (vgl. auch Hes. Eust. 344, 13) **14** B 338, 13 **15** B 329, 2 A Sui. **16** B 329, 3 A Sui. **17** B 329, 4 A Sui. **18** B 329, 5 A Sui. **19. 20** B 338, 15 Hes. **21** B 338, 14 **22** B 329, 17 A Sui. **23** B 329, 18 A Sui. **24** B 329, 19 A Sui. Hes.

---

1 ⟨Ἀγκι⟩στρεύει Beginn von *a* fr. 2 2 Ἀγηράτος ἐλαύνω *a* 3 ἀνακράτο *a* 4 ἀκόντην *a* 5 λέγεται δὲ καὶ ἡ δεξιὰ χεὶρ ἀγκύλη *a* B 5. 6 καὶ ἀγκύλη εἶδος *a* B 6 παιδιάν. ἀγκύλη οὖν καὶ ἡ δεξιὰ χείρ, ἀλλὰ καὶ *a* B 8 προαιρέσει *a* πεφορτισμένον *ab* 11 δὲ ἀγκύλη καὶ εἶδος *a* B 14 Lies Ἀραφὴν und δῆμοι 17 Ἀγκύλην καμπύλην *a* 21 Ἄγλιαι *a* 22 Ἀγλιαΐα *a* Nach λαμπρότης: Ἀγλαΐαις λαμπρότησι *a* wie A Sui. 23 Ἀγλιαόκοιτος *a* 24 Ἀγλιαότιμον *a*

Ἄγλαυρος· ἐπώνυμον Ἀθηνᾶς. καὶ μία τῶν Κέκροπος θυγατέρων, ἣν διὰ τιμῆς ἔχουσι καὶ ὀμνύουσιν αἱ γυναῖκες· εἰς γὰρ τὴν τοῦ πατρὸς αὐτῆς Κέκροπος τιμὴν ἀπονεῖμαί τινα γέρα τὴν θεὸν τῇ Ἀγραύλῳ. οὕτω Βίων ὁ Προκοννήσιος.

Ἀγλευκέστερον· ἀηδέστερον. Ξενοφῶν Ἱέρωνι (1, 21).

Ἀγλευκές· τὸ ἀηδές· ὁ αὐτὸς ἐν τῷ Οἰκονομικῷ (8, 3). δοκεῖ δὲ ξενικὸν εἶναι τὸ ὄνομα, Σικελικόν· πολὺ γοῦν ἐστιν πάλιν παρὰ Ῥίνθωνι (fr. 28 Kaib.).

Ἄγλιθες· τὸ δὲ αὐτὸ καὶ αἱ γελγῖθες· ἐξ ὧν ἡ τοῦ σκορόδου κεφαλὴ σύγκειται.

Ἀγλωττία· ἡσυχία, σιωπή.

Ἄγμασι· κλάσμασι, τροπαῖς.

Ἁγνεία· καθαρότης.

Ἁγνεύεται τὴν πόλιν· ἀντὶ τοῦ ἐκ κατηγορίας παρασήμου (Antiphon tetr. I 3, 11), ἀντὶ τοῦ ἁγνίζεται.

Ἁγνίας· ὄνομα ⟨κύριον⟩.

Ἁγνίσαι· τὸ διαφθεῖραι κατὰ ἀντίφρασιν. καὶ τὸ ἀποθῦσαι. οὕτως Σοφοκλῆς (fr. 112).

Ἁγνίτης· ἱκέτης καὶ καθάρσιος. καὶ γὰρ ὁ μύσους ἁγνισθεὶς καὶ ὁ καθήρας οὕτως λέγονται.

Ἄγναπτος· καὶ διὰ τοῦ γ̄ καὶ διὰ τοῦ κ̄ ἔλεγον τοὔνομα. σημαίνει δὲ τὸ μὴ ἐγναμμένον. λέγεται δὲ καὶ ἀρρενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως, ἀρρενικῶς μὲν ἄγναπτος χιτών, θηλυκῶς δὲ ἄγναπτος χλαῖνα, | οὐδετέρως δὲ ἄγναπτον ἱμάτιον. Πλάτων μέντοι ὁ κω- **74r**
μικὸς τὴν ἄγναπτον καὶ χλαῖναν καλεῖ· οὐ μέντοι γε πᾶσα χλαῖνα

1—4 Zwei Glossen (getrennt *a*): 1) bis Ἀθηνᾶς B 329, 24 Sui. aus Harp. (vgl. Apparat); 2) B 326, 17 (kürzer) vgl. Hes. **5** B 329, 21 A Sui. **6—8** B 329, 20 (kürzer) Sui. **9. 10** B 327, 15, vgl. Sui. Et. gen. (ohne Quellangabe) läßt τὸ δὲ — γελγῖθες aus; die Stellung in B erweist es als Zusatz **11** B 329, 22 Sui. Hes. **12** B 329, 23 A Sui. **13** B 329, 27 A Sui. **14. 15** B 338, 17 aus Harp. **16** B 339, 26 Sui. aus Harp. **17. 18** B 339, 8, vgl. Hes. **19. 20** B 338, 19 Hes. **21**—p. 20, **2** B 338, 27 (bis ἱμάτιον), vgl. Hes.

---

1 Ἄγλαυρος· ἡ θυγάτηρ Κέκροπος, ἔστι δὲ καὶ ἐπώνυμον Ἀθηνᾶς *a* B Sui. Dann Ἄγλ. μία *a* 3 γέροντα θεόν *a* 4 ἀγλαύρῳ *a* 5 Ἀγλιευκέστεραι—ἀηδέστεραι *a* ἀντὶ τοῦ ἀηδ. *a* A Sui. 6 Ἀγλιευκὲς *a* παρὰ ὀρίνθωνι *ab* 9 Ἀγλιηθές *a* καὶ ἐγέγλιθες *ab* καὶ γέλγιθες B 11 Ἀγλιωττία *a* 14. 15 Lies Ἁγνεύετε τ. π. Ἀντιφῶν ἐν γʹ κατηγορίας φόνου ἀπαρασήμου—ἁγνίζετε 14 παρασίμου *a* 19 ἁγνιστὸς *a* ἁγνιστὴς *b* 21 διὰ τοῦτο καὶ *a* 22 ἐγνωμένην *a* 25 γε] τε *a*

2*

καὶ ἄγναπτος. ἔστι δὲ χλαῖνα ἱμάτιον παχύ, εἴτε ἄγναπτον εἴτε ἐγναμμένον.

Ἄγνος· φυτόν, ὃν καὶ λύγον καλοῦσι.

Ἀγνόδικος· ἀγνοοῦσα τὸ δίκαιον.

Ἁγνοδικεῖς· οἱ θεοί.

Ἄγνοια· ὀλιγωρία.

Ἀγνοίη· λύπη. καὶ τὸ Ἀγνοεῖν· λυπεῖσθαι.

Ἁγνοπολεῖσθαι· τὸ σφαγίοις καθαίρεσθαι.

Ἁγνούσιος· Ἁγνοῦς δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος, ἧς ὁ φυλέτης Ἁγνούσιος.

Ἀγνωμόνως· ἀνοήτως ἢ ἀχαρίστως. λέγονται δὲ παρὰ Πλάτωνι (Rep. V 450 d) ἀγνώμονες οἱ ἀμαθεῖς.

Ἀγνωμόνως· Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς (Ol. 2, 26) ἀντὶ τοῦ ἀλογίστως καὶ ἀβούλως.

Ἀγνῶτας· μὴ ἐπιγινωσκομένους. 'ἀγνῶτα δέ μοι προεκόμιζεν ἄνθρωπον, ὃς καὶ ἑαυτῷ ἀγνὼς ἐτύγχανεν ὤν.'

Ἄγνον· οὐχὶ λύγον καλοῦσι. καὶ ἀρσενικῶς Χιονίδης Ἥρωσι (fr. 2)· 'καὶ μὴν μὰ τὸν Δί' οὐθὲν ἔτι γέ μοι δοκῶ ἄγνου διαφέρειν ἐν χαράδρᾳ πεφυκότος'. Πλάτων (Phaedr. 230 b)· 'ἥ τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφὴς καὶ ὑψηλή, καὶ τοῦ ἄγνου τε τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον'.

Ἀγορά· τόπου ὄνομα, καὶ τὰ ἀγοραζόμενα. Θεσσαλοὶ δὲ καὶ τὸν λιμένα ἀγορὰν καλοῦσι ⟨καὶ⟩ Κρῆτες τὴν ἐκκλησίαν. παρ' Ὁμήρῳ πᾶς ἀθροισμός. ⟨ὁ⟩ τόπος ἢ ἡ ἐκκλησία ἢ τὸ συναμφότερον. Σόλων (fr. 1, 2 B[4]) δὲ τὸ πεζῷ λόγῳ ἀγορεύειν.

Ἀγορὰ θεῶν· Ἀθήνησι τόπος ἐκαλεῖτο.

---

3 B 324, 15 Sui. aus Timaios, vgl. Hes. **4** B 338, 21 Hes. **5** B 338, 22 Hes. Ἁγνοδοχεῖς **6** B 338, 24 **7** B 338, 23 **8** B 338, 25 **9. 10** B 329, 13 Sui. aus Harp. **11. 12** 329, 30 A Sui. **13. 14** Sui. aus Harp. (vgl. An. Ox. II 488, 4) **15. 16** B 329, 28 A (ohne Zitat) Sui. **17—21** Sui., Eust. 1638, 11 aus Aelius Dion. (Schwabe p. 90) **22—25** Hes. **26** Hes.

---

5 Ἁγνοδίκεις *ab* 9. 10 Lies οὗ ὁ δημότης 11 λέγονται καὶ ἐπὶ πλάτωνι *a* 16 δ *a* ἀγνὸς *ab* verb. Wentzel 17 ἀρρενικῶς *a* χιωνίδης *b* χιωνίδας *a* 18 γε] τε *b* ἐν] ἓ *b* 20 μάλλα *b* 24 ⟨ὁ⟩ τόπος.. συναμφότερον *b* am Rande (ist selbständige Homerglosse) καὶ ὁ τόπος παρ' Ὁμήρῳ ἢ κτλ. *a* am Schluß Σόλων δὲ ἀγορὰν τῷ πεζῷ *a*

Ἄγοι· πολλὰ ϲημαίνει. Ἰϲαῖοϲ (fr. 67 S.) δὲ ἀντὶ τοῦ φέρειν καὶ ἐνάγειν καὶ ἕλκειν ἔλαβεν· 'ἔβλαψε γάρ με, φηϲί, Ξενοκλῆϲ ἀφελόμενοϲ Εὐμάθην εἰϲ ἐλευθερίαν, ἄγοντοϲ ἐμοῦ εἰϲ δουλείαν'. Ἀντιφῶν δὲ ἀντὶ τοῦ ἡγοῖτο παρείληφε· φηϲὶ γὰρ ἐν τῷ περὶ Ἀληθείαϲ (fr. 99 Bl.)· 'τοὺϲ νόμουϲ μεγάλουϲ ἄγοι'.

Ἀγομένων τῶν ἡμετέρων· ἤγουν ἁρπαζομένων καὶ ληϲτευομένων.

Ἀγοράϲω λέγουϲι, τὸ δὲ ἀγορῶ βάρβαρον· παραδειγμάτων δὲ μεϲτὰ πάντα, εἰλήφθω δ' ὅμωϲ Ἀριϲτοφάνουϲ ἐξ Αἰολοϲίκωνοϲ (fr. 2)· 'ἀλλ' ἄνυϲον· οὐ μέλλειν ἐχρῆν, ὡϲ ἀγοράϲω ἅπαξ ἅπανθ' ὅϲα κελεύειϲ, ὦ γύναι'. καὶ Ἀγοράϲματα αὐτὰ τὰ ἠγοραϲμένα.

Ἀγοράϲ· Ὑπερείδηϲ (fr. 150 Bl.) ἀντὶ τοῦ ϲυνόδουϲ. λέγει γὰρ ἐν τῷ κατὰ Πολυεύκτου· 'οὗτοι πολλάκιϲ ἀγορὰϲ ποιοῦνται'. δηλοῖ δὲ καὶ ἄλλα τοὔνομα.

⟨Ἀ⟩γοράζειν· τὸ ὠνεῖϲθαί τι καὶ τὸ ἐν ἀγορᾷ διατρίβειν.

Ἀγορανομίαϲ· λογιϲτείαϲ. εἴρηται δὲ ἐπὶ τῶν ἐπιϲκοπούντων τὰ τῶν πόλεων ὤνια.

Ἀγορανόμοι· οἱ κατὰ τὴν ἀγορὰν διοικοῦντεϲ ὤνια ἄρχοντεϲ. δέκα δὲ ἦϲαν, ὧν πέντε μὲν τὰ κατὰ τὸ ἄϲτυ, πέντε δὲ τὰ κατὰ τὴν χώραν διέταττον.

Ἀγοράϲαι· ⟨Ὑπερείδηϲ⟩ (fr. 70 Bl.) τὸ ὠνήϲαϲθαι.

Ἀγοραίαν· τὴν δικαιολογίαν.

Ἀγοραῖοι· οἱ ἐν ἀγορᾷ ἀναϲτρεφόμενοι.

Ἀγοραῖοϲ νοῦϲ· ὁ πάνυ εὐτελὴϲ καὶ ϲυρφετώδηϲ καὶ οὐκ ἀπόρρητοϲ οὐδὲ πε|φροντιϲμένοϲ. οἱ γὰρ ἀγοραῖοι ἄνθρωποι ἀμαθεῖϲ 74v καὶ ἀπαίδευτοί εἰϲιν. οὕτωϲ Ὑπερείδηϲ (in Athen. 3 Bl.).

Ἀγοραῖοϲ Ζεύϲ· βωμὸϲ Ἀθήνηϲιν, ὃϲ ἐκαλεῖτο Ἀγοραίου Διόϲ.

1—5 B 329, 32 Sui. aus Harp. (vgl. An. Ox. II 488, 1) **6. 7** B 330, 5 A Sui. **8—11** 331, 24 Sui. **12—14** 330, 10 Sui. aus Harp. (vgl. An. Ox. II 488, 6) **15** B 330, 7 A, vgl. Sui., Hes. **16. 17** B 330, 17 A Sui. **18—20** Zwei Teile: 1) bis ἄρχοντεϲ B 330, 13 Sui. Et. gen. (DC = Et. magn. 13, 8) **21** Sui. aus Harp. **22** B 330, 9 A Sui. **23** B 330, 15 A Hes., vgl. Sui. **24—26** B 339, 10 Sui. **27** B 338, 32 Hes.

---

1 Ἀγοί *b* 2 ἐγάγειν *a* 4 τὸ ἄγοι ἀντὶ τοῦ ἡγεῖτο *a* ἡγεῖτο auch *b* γὰρ] δὲ *a* 6 ἡμερῶν *ab* B 10. 11 Lies ἂν κελεύῃϲ 12 ὑπερίδηϲ *b* 13 οὗτοι *a* 16 λογιϲτίαϲ *b* B Sui. δὲ fehlt *a* 17 τῆϲ πόλεωϲ *a* 18 τὰ κατὰ *a* 21 Ergänzt aus Sui., vgl. Harp. 22 Ἀγοραίαν τὴν δίκην τὴν δικ. BA Ἀγ. δίκην τὴν δικ. Sui. 26 εὐριπίδηϲ *ab* B (Eur. fr. 1114 zu tilgen)

Ἀγοραῖος Ἑρμῆς· ἐν Ἀθήναις ἵδρυτο κατὰ τὴν ἀγοράν.

Ἀγορὰ Κερκώπων· Ἀθήνηςι πληςίον τῆς ἡλιαίας, ἐν ᾗ μάλιστα τὰ κλοπιμαῖα πιπράσκονται καὶ ὠνοῦνται. τοιούτους γὰρ καὶ τοὺς Κέρκωπας παρειλήφαμεν, κλέπτας καὶ κακούργους.

⟨Ἀ⟩γορὰ ἐφορεία· οὕτως ἐλέγετο ἡ σύνοδος ἡ πρὸς τοῖς κοινοῖς ὅροις τῶν ἀστυγειτόνων γινομένη· ἐνταῦθα γὰρ συνιόντες οἱ ὅμοροι περὶ τῶν κοινῶν ὁμοῦ ἐβουλεύοντο.

Ἀγορᾶς ὥραν· οὐ τῶν πωλουμένων, ἀλλὰ τῶν ἄλλων πράξεων τῶν κατ' ἀγοράν. ἕωθεν, ἢ καὶ πρὶν ἀγορὰν πεπληθέναι· Φερεκράτης καὶ ἐν Αὐτομόλοις (fr. 29)· 'πίνειν ἀεὶ καὶ μεθύειν πρὶν ἀγορὰν πεπληθέναι'.

Ἀγοραστήν· τὸν τὰ ὄψα ὠνούμενον, ὃν Ῥωμαῖοι ὀψωνιάτορα καλοῦσιν.

Ἀγοράσματα τὰ ὤνια λέγουσι, καὶ Ἀγορασμάτων, καὶ Ἀγοράσεως· τῆς ὠνήσεως.

Ἀγορήν· ἐκκλησίαν.

Ἀγορηταί· σύμβουλοι, φρόνιμοι.

Ἄγος· κατ' ἀντίφρασιν τὸ μύσος. καὶ ἐναγής, ὁ ἐνεχόμενος τῷ μύσει καὶ ⟨ἀ⟩γηλατεῖν τὸ τοὺς ἐναγεῖς ἐλαύνειν. ὁ δὲ παναγὴς τὸν ἁγνὸν καὶ καθαρὸν σημαίνει. καὶ παρωνόμασται ὁ μὲν ἐναγὴς ἀπὸ τοῦ ἄγους, ὁ δὲ παναγὴς ἀπὸ τοῦ ἁγνοῦ καὶ καθαροῦ. σημαίνει δὲ καὶ ἅγνισμα καὶ θυσίαν.

Ἄγος· μίασμα. ἢ ἀγκών. ⟨λέγεται δὲ ἄγος⟩ καὶ τὸ τίμιον καὶ ἄξιον σεβάσματος, ἐξ οὗ καὶ ἱέρειαι παναγεῖς, καὶ ἄλλα τινά.

Ἀγός· ἡγεμών.

Ἄγος· ὁ Ζεὺς παρὰ Τροιζηνίοις.

Ἀγόμφιος αἰών· οὕτως ἔλεγον τὸν χρόνον, ἐν ᾧ τις ἑωρᾶτο γεγηρακώς· παρὰ τὸ μὴ ἐνεῖναι τοῖς γηρῶσι τοὺς γομφίους.

---

1 B 339, 1 **2—4** Eustath. 1430, 36 (1669, 59) Hes. **5—7** Vgl. Bek. 204, 6 Et. gen. läßt οὕτως ἐλέγετο aus (= Et. magn. 13, 10) **8—11** B 330, 19 Sui. **12. 13** B 339, 13 **14. 15** B 339, 3 Hes. **16** B 330, 16 A Sui., vgl. Hes. **17** B 330, 24 A Sui. **18—22** B 330, 26; mit dem Schluß vgl. Hes. **23. 24** B 330, 31 Sui.; zwei Teile 1) bis ἀγκών aus A **25** B 330, 25 A Sui. **26** B 338, 26 **27**—p. 23 **3** B 339, 15

---

4 κακοῦργοι *a* 7 περὶ] παρὰ *a* 12 ὀψωνιάτορ *a* 17 ἀγορηταίοι *a* 20 παρώνομάσθαι *a* 23 λέγεται δὲ ἄγος fehlen *b* 26 τροιζηνοῖς *b* κυζηνοῖς B 26 Wohl Ἀγός, vgl. Z. Ἀγήτωρ 28 ἐμμεῖναι E. Schwartz γέρουσι B

Διοκλῆς (fr. 14)· ‘μηδείς ποθ’ ὑμῶν, ἄνδρες, ἐπιθυμησάτω γέρων γενέσθαι, προνοησάτω δὲ ὅπως νέος ὢν ἀγαθόν τι τῇ ψυχῇ παθὼν εἰς ὥραν καταλύσῃ μηδ’ ἀγόμφιόν ποτε αἰῶνα τρίψῃ’.

Ἄγουσιν ἑορτὴν οἱ κλέπται· χαριεστάτη ἡ σύνταξις καὶ ἱκανῶς πεπαισμένη κατὰ τὴν κωμῳδικὴν χάριν. σημαίνει δὲ τοὺς ἀδεῶς κλέπτοντας. οὕτως Κρατῖνος.

Ἄγρα· Δήμητρος ἱερὸν ἔξω τῆς πόλεως πρὸς τῷ Εἰλισσῷ.

Ἄγραυλοι· οἱ ἐν ἀγρῷ διανυκτερεύοντες ἢ αὐλιζόμενοι.

Ἀγραπτότατος αὖος βάτος· ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον.

Ἄγραφα ἀδικήματα· οἷον ὑπὲρ ὧν νόμος οὐ κεῖται.

Ἀγραφίου· εἶδος δίκης ἐστὶ κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ καὶ ἐγγεγραμμένων, ὥστε ὀφείλειν, ἀπαλειφθέντων δὲ πρὶν ἀποδοῦναι. ἐνίοτε δὲ τάττεται καὶ κατὰ τῶν ἐγγραφόντων τοὺς μὴ ὀφείλοντας. ὁ δὲ τοῦτο πράξας καὶ ἀλοὺς αὐτὸς μὲν ἐνεγράφετο ὀφείλειν, ὁ δὲ μὴ δεόντως ἐγγραφεὶς ἠφίετο τῆς ἀδίκου ἐγγραφῆς.

Ἀγραφίου δίκη· τῶν ἐκ καταδίκης ὠφληκότων τῷ δημοσίῳ γράφουσι | τὰ ὀνόματα ἐν σανίσιν οἱ κατὰ καιρὸν περὶ τούτων διοι- **75r** κοῦντες, προστιθέντες ἀνὰ πόσον ἐστὶ τὸ ὄφλημα. ὅταν δὲ ἀποδιδῷ ἕκαστος, ἐξαλείφεται τῆς σανίδος τὸ ἐπίγραμμα. ἐὰν οὖν τις ἀναγραφῇ μὲν ὠφληκέναι, δόξῃ δὲ μὴ ἀποδεδωκέναι, καὶ τὸ ὄνομα αὐτοῦ ἐξηλειμμένον ᾖ ἐκ τῆς σανίδος, συγκεχώρηται τῷ βουλομένῳ τῶν ἀστῶν εἰσάγειν κατ’ αὐτοῦ δίκην ἀγραφίου.

⟨Ἀ⟩γράφου μετάλλου δίκη· οἱ τὰ ἀργύρεια μέταλλα ἐργαζόμενοι ὅπου βούλοιντο καινοῦ ἔργου ἄρξασθαι, φανερὸν ἐποιοῦν⟨το⟩ τοῖς ἐπ’ ἐκείνοις τεταγμένοις ὑπὸ τοῦ δήμου καὶ ἀπεγράφοντο τοῦ τελεῖν ἕνεκα τῷ δήμῳ εἰκοστὴν τετάρτην τοῦ καινοῦ μετάλλου. εἴ τις

4—6 B 331, 11 Sui. aus Phrynichos **7** Sui., vgl. Eust. 361, 37 aus Pausanias (Schwabe p. 91 vgl. Et. magn. 13, 13) **8** B 331, 3 A Sui. **9. 10** aus Phrynichos oder Pausanias **11** Vgl. B 331, 5 A Sui. **12—16** Vgl. Bek. 199, 28; z. T. gleich B 331, 21 Sui. aus Harp. Et. gen. (cod. D = Et. magn. 13, 15) bis ὀφείλοντας **17—23** Sui. **24**—p. 24 **2** Sui.

---

1 ὁ (vor Διοκλ.) rot *b* πῶθ’ *a* 2 Ἀπρονοησάτω *b* (A rot) 3 Ἀχαριεστάτη *b* (A rot) 9 Lies Ἀγναπτότατος 11 ἀδικήματα] ἀδοκίμαστα A 12 ἐστι] καὶ *a* 14 ἐγγραφέντων *b* 18 περὶ τοῦτο *a* περὶ fehlt *b* 20 ἐξηλειμμένον aus ἐξαλ. *b* 24 ἀργύρια *a* 25 ὅπου aus ὅπως *b* 26 τοὺς — τεταγμένους *b*

οὖν ἐδόκει λάθρᾳ ἐργάζεσθαι μέταλλον, τὸν ⟨μὴ⟩ ἀπογραψάμενον ἐξῆν τῷ βουλομένῳ γράφεσθαι καὶ ἐλέγχειν.

Ἀγρευτικὴ στολή· ἡδεῖα ἡ λέξις καὶ ἀστεία.

Ἀγρεύματα· τὰ ἐπὶ τῆς ἀγροικίας κτήματα Σόλων εἶπε. σημαίνει δὲ καὶ σκῦλα.

Ἀγριόθυμος· ἄγριος τῇ ψυχῇ.

Ἄγριοι· τοὺς παιδεραστὰς οὕτως ἐκάλουν, ἤτοι ὅτι ἄγριον τὸ πάθος, ἢ ὅτι ὁ Πὰν ἔνοχός ἐστι τοῖς τοιούτοις. καλοῦσι δὲ αὐτοὺς καὶ Κενταύρους. δῆλον ὅτι καὶ τὰ ἀνήμερα τῶν ζῴων ἄγρια καλεῖται. καὶ ἄγριος ὁ τὸ ἦθος δύσκολος καὶ ὀργίλος.

Ἀγρίους· Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου (52) τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ οὕτως ὠνόμασε. καὶ Μένανδρος (fr. 965) δὲ ἄγριον εἶπε κυβευτὴν τὸν λίαν περὶ τὸ κυβεύειν ἐσπουδακότα.

Ἄγριος ἔλαιος· ἣν οἱ πολλοὶ ἀγριέλαιον καλοῦσιν. ἔστι παρὰ Πινδάρῳ ἐν ὕμνοις (fr. 46 Schr.).

Ἀγροικεῖν. καὶ Ἀγροίκων· τῶν σωφρόνων. παρὰ δὲ τὸ ἀγροῖκος γέγονε τὸ ῥῆμα ἀγροικεῖν.

Ἄγροικοι· γένος Ἀθήνησιν, ὃ ἀντιδιέστελλον πρὸς τοὺς Εὐπατρίδας. ἦν δὲ τὸ τῶν γεωργῶν, καὶ τρίτον τὸ τῶν Δημιουργῶν.

Ἄγροικος· σκληρός. '⟨ἄγροικος⟩, ἀσκιατρόφητος, ⟦οἷον⟧ ἐργάτης'. ἄφρων, δύσκολος. ἢ ὁ ἐν ἀγρῷ κατοικῶν.

Ἄγροικος ὀπώρα· ἀπεναντίως τῇ γενναίᾳ. ἐγένετο δὲ ὡς ἐν διαφορᾷ, τῆς μὲν πρὸς τὸ ὀπωρίσαι, τῆς δὲ πρὸς ἀπόθεσιν καὶ οἰνοποιΐαν καὶ τὰ τοιαῦτα. λέγει δὲ ὁ Πλάτων σαφῶς ἐν Νόμοις (845 ab)· 'ὠνούμενος τὴν γενναίαν ὀπώραν ὀπωριζέτω, ἐὰν βούληται'.

---

3 B 339, 32 aus Phrynichos (?) 4. 5 B 340, 16 zwei Teile: 1) bis εἶπε; 2) aus Diogenian, vgl. Hes. 6 B 331, 9 C Sui., vgl. Hes. 7—10 B 339, 23 (vgl. 200, 21; Et. magn. 13, 47) 11—14 B 332, 26 Sui. aus Harp. 15. 16 B 339, 28 17. 18 B 340, 18 19. 20 Hes. Ἀγροιῶται 21. 22 Zwei Glossen (in *a* noch getrennt) 1) bis ἐργάτης wohl aus Phrynichos (daher Komikerzitat herzustellen); 2) B 331, 6 C aus Timaios 23—p. 25 2 B 340, 8

---

1 ἀπεγραψάμενον *a* 4. 5 σημαίνει δὲ fehlt *b* 12 παρὰ τὰ *a* 13 περὶ τοῦ Harp. E παρὰ τὸ *a* 15 ἔστι δὲ *a* 16 πίνδαρον *a* 17. 18 τὸ ἀγροίκως *ab* B 19 ἀντιδιέστελον *a* 21 ἀσκιοτρόφητος *ab* verb. v. Wilamowitz 22 ἄφρων — κατοικῶν fehlt hier *a* 23 γεναία *b* 24 ὀπωρῆσαι zu ὀπωρίσαι *a* und B 25 nach τοιαῦτα fehlt ein Partizip.

καὶ πάλιν· 'τῆς μὲν γενναίας ἀπτέσθω, ἐὰν βούληται, τῆς δὲ ἀγροίκου λεγομένης καὶ τὸν τοιοῦτον ὁ νόμος εἰργέτω'.

⟨'Α⟩γροβόας ἀνήρ· ὁ ἀγροίκως φθεγγόμενος καὶ οὐκ ἀστείως οὐδὲ ἐμμελῶς. οὕτως Κρατῖνος (fr. 374).

⟨'Αγρόμενοι· συναθροιζόμενοι.⟩

'Αγροιλῆθεν· δῆμός ἐστι τῆς 'Ερεχθηΐδος φυλῆς 'Αγροίλη, ὁ δὲ δημότης πάλαι ἐλέγετο 'Αγροιλεύς.

'Αγρόμενοι· συναθροίζοντες. |

'Αγρονόμοι· οἱ ἐν ἀγροῖς διάγοντες. *75v*

'Αγρότας· ἀγροίκους.

'Αγροῦ πυγή· τὸ πιότατον· οἳ δέ ἐπὶ τῶν προσκαθημένων τινὶ λιπαρῶς. οἳ δὲ ὑπερβολικῶς λέγουσιν ἐπὶ τῶν ἐν ἀγρῷ καθημένων. ἢ ἐπὶ τοῦ σφόδρα ἀγροίκου.

Ἄγρυκτα καὶ ἄλεκτα πέπονθα· τὸ μὲν ἄγρυκτα ἐστὶν ὥστε μηδὲ γρύξαι διὰ τὴν ὑπερβολὴν τῶν κακῶν. γρύξαι δέ ἐστι τὸ βραχύτατον φθέγξασθαι, ὃ καὶ ἄναρθρόν ἐστι, μυγμῷ ἢ στεναγμῷ παραπλήσιον. κέχρηται δὲ αὐτῷ καινότατα Φερεκράτης (fr. 157)· 'τί δ' ἔπαθες; ἄγρυκτα καὶ ἄλεκτα ἀλλὰ βούλομαι μόνῃ αὐτῇ φράσαι σοι'.

'Αγρῶσται· οἱ κυνηγέται, ἀπὸ τοῦ ἀγρώσσω ῥήματος. Ὅμηρος (ε 53)· 'ἰχθῦς ἀγρώσσων'.

'Αγυιαί· ἄμφοδα, ῥῦμαι. ἢ ἐπιμήκεις ὁδοί· παρὰ γὰρ τὸ μὴ ἔχειν πως γυῖα καὶ μέλη ⟨καὶ⟩ κάμψεις. τὰ δὲ ἄμφοδα ἔχουσιν ἑκατέρωθεν διεξόδους καὶ ταύτῃ διαφέρουσιν.

'Αγυιάν· τὸν στενωπόν Ξενοφῶν (Cyrop. II 4, 3). καὶ ὅλως πολλὰ τὰ γλωσσηματικὰ παρ' αὐτῷ.

'Αγυιεύς· ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων, ἱερὸς

---

3. 4 B 339, 30 aus Phrynichos **5** Sui., vgl. Hes. 'Αγρομένων **6. 7** B 332, 30 aus Harp. **8** B 331, 8 **9** B 331, 19 Sui., vgl. Hes. 'Αγρονόμων **10** B 331, 20 Sui. **11—13** Eustath. 310, 2 aus Pausanias (?) **14—18** B 339, 33 aus Phrynichos (vgl. καινότατα) **19. 20** B 332, 8 C Sui. **21—23** B 332, 13 (wo Schluß aus Orion) C Sui. **24. 25** Sui. aus Phrynichos (?) **26**—p. 26 **4** Sui., vgl. Hes.

---

2 Lies τῶν τοιούτων 3 Nach εἰργέτω neue Glosse Ἄγροικος· ἄφρων δύσκολος. ἢ ὁ ἐν ἀγρῷ κατοικῶν *a* 5 fehlt *b* συναθροίζοντες fügt *a* aus Z. 8 zu 6 ἀγροίλη (lies 'Αγρύλη) vor δῆμος *a* Harp. E B richtig 8 fehlt hier *a* 9. 10 fehlen *a* 11 πηγή τὸ πιότητον *a* 12 λιπαρῶ *b* 13 ἀδίκου *a* 14 ἐστὶν] καὶ *a* 18 αὐτῇ *a* 19 ἀγρώσω *a* 23 ταῦτα C *a* (Wentzel) 23 διαφ *b* 24 τὸ στενωπόν *a* 26 αὐλίων zu αὐλείων *b* αὐλίων *a*

Ἀπόλλωνος, καὶ αὐτὸς ⟨ὁ⟩ θεός. Φερεκράτης Κραπατάλοις (fr. 87)· 'ὦ δέσποτ' ἀγυιεῦ, ταῦτα συμμέμνησό μοι'. καὶ τὸ κνισᾶν ἀγυιᾶς (Demosth. 21, 51) τοὺς ἀγυιέας δηλοῖ συνῃρημένως, οὐ τὰς ἀγυιὰς καὶ τὰς ὁδούς.

Ἀγυιάτιδες· παρ' Εὐριπίδῃ (Ion. 186) οἱ πρὸ τῶν θυρῶν βωμοί.

Ἀγυιᾶς· ἔνιοι μὲν ὀξύνουσι θηλυκῶς χρώμενοι, οἷον τὰς ὁδούς. βέλτιον δὲ περισπᾶν ὡς ἀπὸ τοῦ ἀγυιέας. ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἰδίους δὲ αὐτούς φασιν εἶναι Ἀπόλλωνος, οἳ δὲ Διονύσου, οἳ δὲ ἀμφοῖν. ἔστιν οὖν τὸ ὁλόκληρον ἀγυιεύς, καὶ κατὰ τὴν αἰτιατικὴν ἀγυιέας, ἐν συναλοιφῇ δὲ ἀγυιᾶς. ἔστι δὲ ἴδιον Δωριέων. εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὡς Σοφοκλῆς (fr. 341) μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν φησί· 'λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ σμύρνης σταλαγμούς, βαρβάρους εὐοσμίας'.

Ἀγύρτης· ἐπαίτης, φιλοκερδής. καὶ εἶδος βόλου. καὶ ὁ ἀλαζὼν καὶ ἀπατεών. τὸ δὲ ἀγείρειν καὶ περιαγείρειν τὸ περιιέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ ἤ τινι ἑτέρῳ τοιούῳ σεμνύνειν. καὶ κυβευτικοῦ βόλου ἐστὶν ὄνομα.

Ἀγυρτικά· χυδαῖα ψεύσματα.

Ἀγυρμός· ἐκκλησία, συναγωγή.

Ἀγυρτώδη· συρφετώδη.

Ἀγύρριος· δημαγωγὸς Ἀθηναίων οὐκ ἀφανής.

Ἄγχαζε· ἀντὶ τοῦ ἀναχώρει. οὕτως Σοφοκλῆς (fr. 886).

Ἄγχασκε· ἀνάχασκε. οὕτως Φερεκράτης (fr. 196).

Ἀγχέμαχος· ἐγγύθεν μαχόμενος.

Ἄγχι· ἐγγύς.

Ἀγχίθυρος· γείτων.

---

5 B 340, 20, vgl. Eustath. 166, 24 **6—14** B 331, 30 Sui. aus Harp. (vgl. Eustath. 166, 22) **15—18** B 331, 14 zwei Teile (in *a* getrennt) 1) bis βόλου: erweitert aus A Sui. I; 2) aus Aelius Dion. Eust. 1430, 34 (Schwabe p. 88), vgl. Hes. Teil II, Sui. II, Et. magn. 14, 31 **19** B 332, 11 Sui. Et. magn. 14, 35 **20** B 331, 10 Sui., vgl. Hes. **21** B 332, 12 Sui. **22** B 331, 29 Sui. aus Harp. **23** B 340, 22, vgl. Hes. **24** B 340, 21 **25** B 332, 22 Sui. (wo ἀγχίμαχος), vgl. Hes. **26** B 332, 23 C Sui. Hes. **27** B 332, 24, vgl. Sui.

---

2 ταῦτά σοι μέμνησό μοι *ab* verb. v. Wilamowitz κνισοῦν *ab* 3 συνῃρημένας *a* 10 συναλιφῇ *b* 12 ὡς] καὶ *a* 15 βώλου *ab* καὶ ἀγύρτης εἶδος *a* Ἀγύρτης ὁ ἀλ. *a* 16 ἀπαιτέων *a* 17 ὁ δὲ ἀγύρτης καὶ κυβ. *a* βώλου *ab* 24 ἀνεχώρει *b* 25 fehlt *a*

Ἀγχίμολον· ἐγγὺς ἐλθών.

Ἄγχιμος· ἀντὶ τοῦ πλησία. Εὐριπίδης (fr. 867)· ‘ἀλλ’ ἄγχιμος γὰρ ἥδε Φοιβεία γυνή’. |

Ἀγχίνοια· σύνεσις. 76r

⟨Ἀ⟩γχίνους· συνετός, ὀξὺς τὸν νοῦν.

⟨Ἄ⟩γχιστα· ἔγγιστα.

Ἀγχιστεία· συγγένεια. καὶ Ἀγχιστεῖς· οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος. οἱ δὲ ἔξω τούτων συγγενεῖς μόνον. οἱ δὲ κατ’ ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται.

Ἀγχίσποροι· ἐγγὺς γένους.

Ἀγχιστίνδην· ⟦οἱ⟧ κατὰ ἀγχιστείαν, ὥσπερ ἀριστίνδην καὶ πλουτίνδην, ἐπιρρηματικῶς.

Ἀγχίστροφοι· συστραφέντες, ἢ ταχὺ ἐπιστρεφόμενοι.

⟨Ἀ⟩γχιτέρμων· ὁ γείτων, ὁ ὅμορος.

Ἀγχοῦ· ἐγγύς.

Ἀγχωμάλου· τῆς ἴσης, τῆς ἐγγὺς τοῦ ὁμαλοῦ.

Ἀγωγή· ἀναστροφή, τρόπος. ἢ ἡ κομιδή, καὶ τὸ ἀγόμενον βάρος.

Ἀγωγεῖ· τῷ ἱμάντι, ᾧ ἄγεται ὁ ἵππος. ὃ καὶ ῥυτὴρ καλεῖται.

Ἀγωγεύς· ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν. οὕτως Σοφοκλῆς (fr. 887).

Ἀγώγιον· τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. οὕτως Ξενοφῶν (Cyr. VI 1, 54).

Ἀγώγιμος· ἄγων. ἀγόμενος.

Ἀγωγίμων· φορτίων ἐμπορικῶν.

Ἀγωγόν· ἐπακτικόν.

---

1 B 332, 32 Sui., vgl. Hes. **2. 3** B 340, 24 **4** 332, 34 Sui., vgl. Hes. **5** B 333, 1 C Sui., vgl. Hes. **6** B 333, 2 C Sui. **7—10** B 333, 3 C Sui., vgl. Hes. **11** B 332, 25, vgl. Sui., Schol. Plat. Pol. 391 a **12. 13** B 333, 8 C Sui. **14** B 333, 10 Sui. **15** B 333, 15 Sui. ἀγχιτέρμονες οἱ γίτωνες und ἀγχιτέρμων ὁ ἐγγὺς τῶν ὅρων C **16** B 333, 11 C Sui. **17** B 333, 12 Sui. **18** B 333, 20 C Sui. **19** B 333, 17 C Sui. (Xenoph. de re. equ. 8, 3; 6, 5) **20. 21** B 340, 26 vgl. Hes. aus Phrynichos (Bek. 22, 20) **22. 23** B 333, 13 C Sui. **24** B 333, 16 C Sui. **25** B 333, 22 C Sui., vgl. Hes. Moeris 190, 9 **26** B 333, 23 C

---

1 Ἀγχιμολῶν *ab* ἐλθόν *a* 3 φοιβία *b* B 4 Wiederbeginn von *g* 12 οἱ] τὸ B Sui. 12. 13 fehlt *a* 14 ἐγγὺς στραφέντες C 26 ἀπακτικόν *b*

Ἀγωγούς· προπομπούς.

Ἀγωνία· ὁ ἀγωνισμός, καὶ ἀγών. λέγεται δὲ οὕτως καὶ ἡ ἀγωνιστική.

Ἀγωνίᾳ· Ξενοφῶν (Cyr. II 3, 15) ἀντὶ τοῦ ἀγῶνι.

Ἀγῶνα· καὶ τὴν πρὸς τοὺς ἀγῶνας ἄσκησιν.

Ἀγωνιῶ· κινδυνεύω.

Ἀγών· ὄνομα κύριον δηλοῖ, ὡς Δοῦρις (fr. 75 M.) ἱστορεῖ. σημαίνει δὲ καὶ τὴν ⟨ἀ⟩γωνίαν καὶ τὸ ἄθροισμα καὶ τὸν ναόν, ἔνθα ἀθροίζονται ⟨οἱ θεοί⟩, καὶ τὸν τόπον, ἔνθα ἀθροίζεται τὸ πλῆθος.

Ἀγῶνα· καὶ Ὅμηρος (Ψ 273) τὸν τόπον αὐτόν, ἐν ᾧ ἀγωνίζονται. Θουκυδίδης ε′ (50)· 'προελθὼν εἰς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον'.

Ἀγὼν οὐ δέχεται σκήψεις· τάττεται ἡ παροιμία ἐπὶ τῶν μηδὲν ὀνησαμένων εἰς σκῆψιν.

Ἀγωνιᾶν· Ἰσοκράτης (15, 183. 302) ἀντὶ τοῦ ἀγωνίζεσθαι. καὶ Ἀγωνιῶντες ⟨ἀντὶ τοῦ⟩ ἀγωνιζόμενοι ὁ αὐτός (4, 91).

Ἄγωνος· κατὰ σχηματισμὸν ἀντὶ τοῦ ὁ ἀγών· ἀπὸ δὲ γενικῆς ἐσχηματίσθη. οὕτως Ἀλκαῖος ὁ λυρικὸς (fr. 121 *B*⁴) πολλάκις ἐχρήσατο.

Ἀγωνοθέτης· ὁ ἐν τοῖς σκηνικοῖς, ἀθλοθέτης δὲ ὁ ἐν τοῖς γυμνικοῖς.

Ἀγῶνα· τὴν συναγωγήν. οὕτως Ἀριστοφάνης (fr. 927).

Ἀδαγμός· ὀδαξησμός, ὅπερ ἐστὶ κνησμός. οὕτως Σοφοκλῆς (Trach. 770).

Ἀδαήμονες· ἄπειροι.

Ἀδαμάντινα· στερρά.

Ἀδαξῆσαι· τὸ κνῆσαι, οὐκ ἐν τῷ ⟨ō⟩ ὀδαξῆσαι. καὶ Ἀδαχεῖν· τὸ κνήθειν· 'ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἄχορ' ἐκλέγει τ' ἀεί'. Ἀριστοφάνης ἐν Ὁλκάσιν (fr. 410).

---

1 B 333, 24 C Sui. **4** B 333, 19 Sui. **5** Sui. **6** B 333, 25 A Sui. **10. 11** Sui. **12. 13** Sui. **14. 15** B 333, 26. 27 Sui. aus Harp. (zwei Glossen) **16. 17** Vgl. Hes. **18. 19** B 333, 28 C Sui. **21. 22** B 342, 22, vgl. Hes. **23** B 340, 32 C Sui., vgl. Hes. **24** B 340, 33 C Sui., Hes. **25—27** B 340, 28 Sui. Et. gen. Ἀ. σημαίνει τὸ κνῆσαι (ohne Quellangabe)

---

1 προμποὺς *a* 4 Ἀγωνιᾷ *abg* ἀγών dann Lücke *b* ἀγωνι dann Lücke *g* 9 Erg. E. Schwartz 10 τὸν τρόπον *a* ἀγωνίζεται *a* 12 καὶ ἐπὶ *ag* (aber καὶ in *g* vielleicht getilgt) 13 ὠνησαμένων *a* 15 ἀγωνιῶν *a* 16 Ἀγῶνος *ab* 23. 24 fehlt *a* 25 ō fehlt *abg* B Sui. 26 αϑχῶρα *bg* ἀθαχῶρα *a* ἀχῶρα B

Ἄδασμος· οὐδένα δασμὸν ἐκτίνουσα, οὐδὲ μερίζουσα δασμὸν τῆς οἰκήσεως. οὕτως Αἰσχύλος (fr. 63).

Ἄδδιξ· μέτρον τετραχοίνικον. οὕτως Ἀριστοφάνης (fr. 709).

Ἀδεὲς δέος (Plato Symp. 198a)· τάσσεται ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων. ἢ ἀσφαλές, οὐ φοβερόν.

Ἀδέητος· Ἀντιφῶν (fr. 80 Bl.) ἀντὶ τοῦ ἀνενδεής.

Ἀδείμαντα· ἄφοβα. |

Ἀδεκάστως· ἀμερίστως, δικαίως, ἀδωροδοκήτως, ὀρθῶς. 76v

Ἀδεκατεύτους· ὧν οὐκ ἀνατέθειται ἡ δεκάτη τοῖς θεοῖς.

Ἀδελφίζειν· τὸ ἀδελφόν τινα πυκνῶς καὶ θεραπευτικῶς καλεῖν. οὐ μόνη ἡ κωμῳδία, ἀλλὰ καὶ οἱ ῥήτορες τῇ λέξει ταύτῃ χρῶνται. οὕτως Ἰσοκράτης (19, 30).

Ἀδημονεῖν· κυρίως μέν ἐστι τὸ ἀπορεῖν καὶ ἀμηχανεῖν ἔν τινι δήμῳ ἢ χώρᾳ. Ὅμηρος....

Ἀδήν· τῶν ἐν τῷ σώματι γεγενημένων ἐστὶ τοῦτο. γίνεται δὲ περὶ βουβῶνας καὶ μασχάλας, καὶ ἔτι ὑπὸ τὰς σιαγόνας. ὀξύνεται δὲ ἡ λέξις καὶ δασύνεται παραλόγως, ὥς φησιν Ἡρῳδιανός.

Ἄδην· τὸ ἅλις. Πλάτων πολλαχοῦ κέχρηται. ἢ εἰς κόρον, ἱκανῶς, ἀρκούντως. ἐν Χαρμίδῃ (153 d)· 'ἐπεὶ δὲ τῶν τοιούτων ἄδην εἴχομεν'.

Ἀδημονῶν· ἀγωνιῶν.

Ἀδήριτος· ἄμαχος.

Ἀδηφάγος· ἀθρόως ἐσθίων, πολυφάγος, γαστρίμαργος.

---

1. 2 B 342, 24, vgl. Hes. **3** B 342, 26 Hes. Et. gen. Ἀ. μέτρον τι, οἶμαι, τετραχοίνικον (ohne Quellangabe) vgl. Eust. 1854, 12 **4. 5** Sui. **6** B 341, 3 (Hes.) aus Harp. (vgl. An. Ox. II 488, 10); aus anderer Mittelquelle Sui. **7** B 341, 1 Sui. Ἀδείμαντον C **8** B 341, 4 C Sui. **9** B 342, 27, vgl. Hes. **10—12** anders B 341, 23 aus Harp., vgl. An. Ox. II 488, 11; wieder anders Hes. **13. 14** Vgl. B 341, 5 **15—17** Vgl. Lentz, Her. I 15, 1. 16, 4. 508, 13. 539, 20 **18—20** B 341, 15 Sui. (Πλάτων bis κέχρ. ausgelassen; dies aus anderer Quelle) Platoglosse vgl. Schol. Charm. 153 d Pseudo-Didymos Miller 400 **21** B 341, 5 C Sui. **22** B 341, 8 C, vgl. Sui. Hes. **23** B 341, 9 Sui.

---

1 ἐκτείνουσα *abg* ἐκτελοῦσα Hes. 4 μὴ fehlt *a* 6 ἀντιφῶν fehlt *b* 7 Ἀδείματα *bg* 14 Lücke wohl mit einer Ableitung von ἀδέω (vgl. μ 281 und Eustath. 1721, 60) auszufüllen, vgl. Hes. 16 παρὰ βουβ. *a* nach βουβῶνας: ἧε ἰσχία δὲ *a* 19 χαρμ δ ἐπεὶ *bg* (die Lücke vor und nach δ etwa für 3 Buchstaben *b*) χαρμ ἐπεὶ *a* ἄδειν *b*

'Αδηνέως· ἁπλῶς καὶ ἀταλαιπώρως, κατὰ στέρησιν τῶν δηνέων καὶ μεριμνῶν.

'Αδηφάγον ἅρμα· τὸ τέλειον καὶ μέγα.

'Αδηφάγοι τριήρεις· αἱ μεγάλαι οὕτως ἐλέγοντο· ἢ ἔχουσαι τὰ πληρώματα ἐντελῆ. ⟨καὶ ἀδηφάγα ἅρματα τὰ μεγάλα καὶ τέλεια.⟩ καὶ ἔστι πεποιημένον ἀπὸ τοῦ ἄδην ἐσθίειν ἤτοι δαψιλῶς. λέγοιντ' ἂν αἱ ἐντελόμισθοι καὶ πολλὰ ἀναλίσκουσαι, ἐκ μεταφορᾶς τῶν τελείων καὶ ἀγωνιστῶν ἵππων. 'Αλκαῖος δὲ ἐν τῇ Κωμῳδοτραγῳδίᾳ (fr. 21) τοὺς πότας λύχνους ἀδηφάγους εἶπεν.

'Αδήωτον· ἀπόρθητον, ἀπραίδευτον.

'Αδηφάγοι· ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο, ὡς 'Αριστοφάνης (fr. 736) καὶ Φερεκράτης (fr. 197). ἔφη δὲ καὶ ἀδηφαγοῦσα Σοφοκλῆς (fr. 889) καὶ ἀδηφαγεῖν Ἕρμιππος (fr. 84). ἀλλὰ καὶ ἀδηφάγον εἶπε Λυσίας (fr. 103 S.) τὴν τέλειον μισθὸν λαμβάνουσαν τριήρη. 'Αλκαῖος δὲ ὁ κωμικὸς (fr. 21 K.) ⟨καὶ τοὺς πότας λεγομένους λύχνους⟩ ἀδηφάγους ἔφη χαριεντισάμενος. καὶ δρομεῖς δέ τινες ἐν Νεμέᾳ ἀδηφάγοι ἐλέγοντο· καὶ οἱ γυμναστικοὶ παρὰ 'Αργείοις οὕτως. λέγουσι δέ τινες καὶ τὸν ἱερὸν λόχον ἀδηφάγον.

'Αδίαντον· ξηρόν, ἄβροχον. ἢ φυτὸν παρ' ὕδασι φυόμενον, τὸ καλούμενον πολύτριχον.

'Αδιάφθορον· ἄμωμον. λέγεται δὲ καὶ τὸ μήπω μετ' ἀνδρὸς παιδισκάριον γεγονός, ὡς Μένανδρος (fr. 984). καὶ μὴν ἀδιάφθορον τὸ μηδεμιᾷ ὑποκείμενον φθορᾷ, ὡς Πλάτων ἐν τῷ περὶ Ψυχῆς (106 e)· 'ὁπότε δὴ τὸ ἀδιάφθορον καὶ ἀθάνατον οἴχεται'. λέγεται δὲ καὶ τὸ μὴ παρακεκινημένον τῆς ὀρθῆς γνώμης, ὡς ὁ αὐτὸς ἐν Νόμων ς' (768 b)· 'ἀδιαφθόρους ταῖς δεήσεσι δικάζειν'. προάγεται δὲ ἡ λέξις καὶ ἐπιρρηματικῶς, ὡς Αἰσχίνης (I 137) φησίν, ἀδιαφθόρως.

'Αδιαίτητος· ἀλλότριος, ἀήθης.

---

1. 2 B 341, 21 Sui. (Miller, Mélanges p. 382) **3** B 343, 26 **4—9** Zwei Glossen, in *a* getrennt: 1) bis δαψιλῶς B 343, 27 (vgl. Bek. 203, 19); 2) von λέγοιντ' ἂν Sui. aus Harp. (vgl. An. Ox. II 488, 12) **10** B 341, 7 C Sui. **11—18** Vgl. Hes. **19. 20** B 343, 1 Hes. **21—27** B 343, 3 **28** B 341, 13 C Sui.

---

3 'Αδηφάγων *a* καὶ μέγα in *b* am Rand, fehlt *ag* B (vgl. die folgende Glosse) 5 καὶ ἀδηφάγα . . τέλεια fehlt *b* 6 nach δαψιλῶς: 'Αδηφάγοι τριήρεις *ag* richtig 7 τῶν fehlt *a* 15 καὶ τοὺς . . λύχνους fehlt *b* πόδας *a* 21 δὲ ἀδιάφθορον καὶ *ag* 24 δὴ fehlt *a* ἀδιάφθορον καὶ *ag* 25 περὶ κεκινημένον *a* 25. 26 νόμῳ *ab* 27 ἀδιαφόρως *b* 28 'Αδίαιτος C

'Αδιάκριτος· ἀδιαχώριστος. λαμβάνεται δὲ ἐπὶ τῶν μὴ γινωσκόντων | τὰ δέοντα, ἢ ἀφρόνως φλυαρούντων. *77r*

'Αδιαλώβητον· ἀβλαβές.

'Αδιάρθρωτον· ἄσημον, ἀτράνωτον.

'Αδίαυλος τόπος· ὅθεν μὴ ἔστιν ἐπανελθεῖν. οὕτως Εὐριπίδης (fr. 868).

'Αδιαφορία· ἀμέλεια χωρὶς παρατηρήσεως.

'Αδιάστατον· τὸ μήπω διεστηκὸς μηδὲ διακεκριμένον. 'Αντιφῶν (fr. 144 Bl.) εἶπεν.

'Αδιάβατος· ὁ μὴ ῥᾳστως, ἢ ὁ μηδ' ὅλως διαβῆναι δυνάμενος.

'Αδιάγλυπτον· ἣν οὐκ ἔστι διαγλύψαι καὶ διελθεῖν. 'λαβὴν γάρ, φησίν, ἄφυκτον ἀδιάγλυπτον.'

'Αδιάλλακτον ἐχθρόν· Δημοσθένης (10, 15) ἔφη, καὶ ἀδιάπαυστον Ξενοφῶν (Ag. 1, 4).

'Αδιάλυτον· τὸ μὴ διαφθειρόμενον, ὡς Πλάτων ἐν τῷ περὶ Ψυχῆς (80 b).

'Αδιάστατον· ὡς Ξενοφῶν· 'καὶ τὸ οἰκοδόμημα ἀδιάστατον'. ἔφη δὲ Πλάτων ἐν Τιμαίῳ (25 d) τὸ ἀδιερεύνητον.

<'Α>δίδακτος· Δημοσθένης ἐν τῷ κατὰ Μειδίου (21, 17)· 'ἀδίδακτος ἂν εἰσῆλθεν ὁ χορός'.

'Αδιεξίτητον· ἀδιεξέλευστον.

'Αδικίου· οἷον ἀδικήματος. ἔστι δὲ εἶδος καὶ ὄνομα δίκης 'Αθήνησιν. ἀποτίννυται δὲ τοῦτο ἁπλοῦν, ἐὰν πρὸ τῆς ἐνάτης πρυτανείας ἀποδοθῇ. εἰ δὲ μή, διπλοῦν καταβάλλεται. ἀδίκιον δέ τινές φασι τὴν ἐπὶ τῷ ἀδικήματι τιθεμένην ζημίαν. καὶ γὰρ Κλείδημος ἐν τῇ πρώτῃ τῶν 'Ατθίδων οὕτω γράφει· 'νόσου γὰρ τοῖς Αἰγινήταις

---

1. 2 B 341, 11 C Sui. **3** B 341, 14 C Sui., Hes. **4** B 341, 17 C Sui. Hes. **5. 6** B 343, 31 (mehr) **7** B 341, 18 C Sui. **8. 9** B 341, 27 Sui. aus Harp. **10** B 343, 24 **11. 12** B 344, 17 **13. 14** B 344, 4 **15. 16** B 344, 19 **19. 20** B 344, 21 **21** B 341, 20 C Sui. **22**—p. 32 **3** Drei Glossen, in *a* noch getrennt: 1) bis καταβάλλεται B 341, 29 Sui. aus Harp.; 2) von ἀδίκιον bis ἀδίκιον vgl. Hes.; 3) von λέγεται καὶ vgl. Bek. 199, 32. Dies wörtlich gleich Et. gen. (ohne Quellangabe)

---

2 nach φλυαρούντων endet *g* 3 εὐλαβές a 10 ῥᾶστος *ab* περατός E. Schwartz 11 διελεῖν E. Schwartz 17 'Αντιφῶν E. Schwartz 21 'Αδιεξήτιτον C 'Αδιεξήτητον *b* verb. *b*[1] 22 εἶδος καὶ und 'Αθήνησιν fehlt *a* B Harp. interpoliert aus Glosse 2 23 ἐννάτης *ab* 24 nach καταβάλλεται: 'Αδικίου εἶδος δίκης 'Αθήνησιν οὕτω καλουμένης *a* als Anfang einer neuen Glosse nach Gl. 'Αδικος δίκη 26 'αἰγινίταις *a*

γινομένης καὶ μαντευομένοις προηνέχθη τὸ ἀδίκημα καὶ κατεγνώσθη ἐπὶ τούτῳ τὸ ἀδίκιον'. λέγεται καὶ ἡ δίκη κατὰ τῶν τὴν πόλιν ἀδικούντων. τὸ δὲ τίμημα αὐτῆς ἀργύριόν ἐστιν ἀποτιννύμενον ἁπλοῦν.

Ἄδικος δίκη· ἡ ἐκ συκοφαντίας γινομένη, ὡς Κρατῖνος· 'ὥστε δίκας τ' ἀδίκους νικᾶν ἐπὶ κέρδεσιν αἰσχροῖς'.

Ἀδικομάχους ἵππους· Ξενοφῶν (Cyr. II 2, 26) τοὺς δυσπειθεῖς λέγει. καὶ δίκαιον ἅρμα τὸ εὐπειθές.

Ἀδιόρθωτον· Δημοσθένης (4, 36)· 'ἀόριστα ἀδιόρθωτα πάντα.'

Ἀδίοπον· ἄναρχον καὶ ἀφύλακτον.

Ἀδιούνιος ταῦρος· ὁ Ἀπόλλων ὑπὸ τῶν Κρητῶν οὕτως λέγεται. φασὶ γὰρ τὴν πόλιν μετοικίζοντα ταύρῳ πως εἰκασθέντα προηγεῖσθαι.

Ἀδμήτου λόγον· ἀρχὴ σκολίου (21 B[4]), ὃ οἱ μὲν Ἀλκαίου, οἱ δὲ Σαπφοῦς φασιν.

Ἀδολεσχία· ἀκαιρία, φλυαρία, συνέχεια.

Ἀδολεσχεῖν· σημαίνει μὲν τὸ φιλοσοφεῖν περί τε φύσεως καὶ τοῦ παντὸς διαλεσχαίνοντα. οἱ μέντοι ἀρχαῖοι κωμικοὶ λεσχαίνειν ἔλεγον τὸ διαλέγεσθαι. καὶ λέσχαι οἱ τόποι, εἰς οὓς συνιόντες λόγοις διημέρευον.

Ἀδόλως· τὸ ἁπλῶς καὶ ἀληθῶς. τὸ γὰρ ἀληθὲς ἁπλοῦν τι καὶ ἄνευ δόλου ἐστί, τὸ δὲ ψεῦδος περιπεπλεγμένον καὶ δόλου μεστόν.

Ἀδοκίμαστος· δοκιμασθῆναι λέγεται τὸ εἰς ἄνδρας ἐγγραφῆναι. ἀδοκίμαστος δὲ ὁ μήπω ἐγγεγραμμένος. οὕτως Λυσίας (fr. 73 S.).

Ἄδουλος βίος ἐρεῖς, τουτέστιν ὁ μὴ δοῦλον ἔχων. ἐρεῖς δὲ καὶ ἀδιάλεκτος βίος καὶ ἀγέλαστος βίος καὶ ἄγαμος βίος. Φρύνιχος Μονοτρόπῳ (fr. 18)· 'ὄνομα δὲ μοὔστι Μονότροπος, ζῶ δὲ Τίμωνος βίον, ἄγαμον, ἀ⟨σύ⟩ζυγον, ὀξύθυμον, ἀπρόσοδον, ἀγέλαστον, ἀδι-
77v άλεκτον, ἰδιογνώ|μονα.'

6. 7 B 344, 6 **9** B 344, 8 Sui. Et. gen. (ohne Quellangabe), Hes. (mehr) **10. 11** B 344 10 **12. 13** Eust. 326, 38 vgl. Hes. aus Pausanias (Schwabe p. 91) **14** B 341, 19 C Sui. **15—18** B 344, 13 **19. 20** B 342, 1 Sui. (kürzer) **21. 22** B 341, 22 Sui. aus Harp. **23—27** B 344, 29 aus Phrynichos (Bek. 25, 14)

1 γινομένης oder γενομένης *b* γενομένοις *a* 2 Ἀδικίου λέγεται ἡ δίκη *a* als neue Glosse (nach Gl. 2) 3 διπλοῦν *a* 4 γενομένη *a* 5 ἀδίκας *a* νικᾷ *ab* verb. v. Wilamowitz 6 lies Ἀδίκους ἵππους, wozu Glosse μαχομένους 8 καὶ ἀδιόρθωτα *b* 10 ὁ ἥλιος B falsch verstandene Abkürzung 11 φησὶ *ab* Lies προηγῆσθαι 12 σκολιοῦ (so) *ab* ὃν *b* 19 Ἀ. τοῦτο σημαίνει τὸ *a* 20 παραπεπλεγμένον *a* 24 βίος (an dritter Stelle) fehlt *b* Ἀφρύνιχος *b* (A rot) 25 nach μονότροπος Lücke 26 ἀσύζυγον E. Schwartz (ἄδουλος stammt aus anderem Zitat, vgl. oben 21, 26)

Ἀδούλευτος οἰκέτης· ὁ ἑνὶ δεδουλευκὼς καὶ μὴ παλίμπρατος. Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους· ʽἀδούλευτον ἢ βάρβαρον πριάσθω'. λέγει δὲ καὶ τὸν νυμφίον ὁ Μένανδρος.

Ἄδουλος· ἐρεῖς ὡς Εὐριπίδης (Andr. 593), ἀλλὰ καὶ ἀδούλευτος ὡς Ὑπερείδης.

Ἀδόνητον· ἀσάλευτον.

Ἄδοξα· τὰ παράδοξα, ἃ οὐκ ἄν τις δοξάσειεν.

Ἀδόξαστον· τὸ ἀνέλπιστον. Σοφοκλῆς (fr. 204).

Ἄδοξον· τὸ ἄτιμον, ὡς Ἰσοκράτης ἐν Εὐαγόρᾳ (66) καὶ Δημοσθένης ἐν Φιλιππικοῖς (8, 66).

Ἀδοξοῦνται πρὸς τῶν πόλεων· ἀντὶ τοῦ ἐν ἀδοξίᾳ εἰσὶν παρὰ ταῖς πόλεσιν. οὕτως Ξενοφῶν ἐσχημάτισεν ἐν τῷ Οἰκονομικῷ (4, 2). φησὶ γάρ· ʽκαὶ γὰρ οἵ γε βάναυσοι καλούμενοι ἐπίρρητοί τέ εἰσι καὶ εἰκότως ἀδοξοῦνται πρὸς τῶν πόλεων'.

Ἀδρανές· ἀσθενές.

Ἀδράστεια· ἡ Νέμεσις, ἣν οὐκ ἄν τις ἀποδράσειεν. οἱ δέ φασιν ἑτέραν εἶναι τῆς Νεμέσεως, καὶ οἱ μὲν ἀπὸ Ἀδράστου φασὶ ταύτην ὀνομασθῆναι, ὅτι μόνος σωθεὶς τῶν ἑπτὰ πάλιν μόνος τὸν υἱὸν ἀπέβαλεν ἐν τοῖς ἐπιγόνοις, οἱ δὲ ἀπό τινος Ἀδράστου Μυσοῦ ἱδρυσαμένου αὐτῆς ἱερόν. βέλτιον δὲ ἀπὸ τοῦ μηδὲν αὐτὴν ἀποδιδράσκειν. καὶ οἱ μὲν ταὐτὸν τῇ Νεμέσει λέγουσι, λαβεῖν δὲ τοὔνομα παρὰ Ἀδράστου τινὸς βασιλέως. ἢ ἀπὸ Ἀδράστου τοῦ παλαιοῦ, νεμεσηθέντος ἐφ' οἷς τῶν Θηβαίων κατηλαζονεύσατο, ἱδρυσαμένου ἱερὸν Νεμέσεως, ὃ μετὰ ταῦτα προσηγορεύθη Ἀδραστείας. Δημήτριος δὲ ὁ Σκήψιος Ἄρτεμίν φησιν εἶναι τὴν Ἀδράστειαν ὑπὸ Ἀδράστου τινὸς ἱδρυμένην. ὁ δὲ Ἀντίμαχος (fr. 23) λέγει· ʽἔστι ⟨δέ⟩ τις Νέμεσις μεγάλη θεός, ἣ τάδε πάντα πρὸς μακάρων ἔλαχε⟨ν⟩, βωμὸν δέ οἱ εἵσατο πρῶτος Ἄδρηστος ποταμοῖο παρὰ ῥόῳ'.

1—3 Hes. **4. 5** Wohl aus Phrynichos, vgl. oben zu 32,23—27 **6** B 341, 26 C Sui. Hes. **7** B 344, 27 Hes., vgl, Sui., Soph. fr. 68 **8** B 344, 28 Hes. **9. 10** B 344, 25 **11—14** B 345, 5 aus Phrynichos **15** B 342, 2 C Sui. Hes. **16**—p. 34 **2** Drei Teile: 1) bis ἀποδράσειεν (16): Sui. Hes. abgekürzt C; 2) bis ἀποδιδράσκειν (20/21): Eustath. 355, 38 aus Pausanias (Schwabe p. 92); 3) B 342, 6 Sui. aus Harp.

2 εὐριπίδης *ab* verb. v. Wilamowitz vgl. Z. 5 15 fehlt *a* 17 ἑταίραν *ab* 18 ὠνομασθῆναι (so) Ende von *a* 20 Lies μηδένα 21 ταὐτὸν *b* Harp. E ταύτῃ B lies τὴν αὐτὴν 23. 24 ἱδρυσάμενος *b* ἱδρυσαμένων Harp. E 26 ἀπὸ] *b* 28 ῥόον Harp. E

ἔνιοι μέντοι ὡς διαφέρουσαν συγκαταλέγουσιν αὐτῇ τῇ Νεμέσει, ὡς Μένανδρος (fr. 321) καὶ Νικόστρατος (fr. 37 K.).

Ἄδραστα· ἀποίητα. Ἕρμιππος.

Ἀδράφαξυς· τὸ λάχανον, ὅπερ οἱ πολλοὶ ἀνδράφαξυν καλοῦσι. Φερεκράτης Κοριαννοῖ (fr. 75)· 'ἀδράφαξυν ἕψουσα εἶτα ὀκλὰξ καθημένη'.

Ἁδρόν· μέγα, δαψιλές, πλούσιον. καὶ Ἁδρότης· ἡ ὑψηλότης.

Ἁδρύνοιτο· αὐξάνοιτο.

Ἁδρῦναι· ἁδρὸν ποιῆσαι καὶ μέγα. Σοφοκλῆς (fr. 892).

Ἀδρύφακτον· ἄπονον καὶ ἀταλαίπωρον.

Ἀδύνατα εἶναι (Thuk. I 59)· ἀντὶ τοῦ ἀδύνατον. πολλάκις γὰρ κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν, μάλιστα δὲ ἐπὶ ταύτης τῆς λέξεως.

Ἀδύνατοι· οἱ μέρος τι βεβλαμ⟨μ⟩ένοι τοῦ σώματος ὡς μηδὲ ἐργάζεσθαι. οἳ καὶ ἐχορηγοῦντο τὰ πρὸς τὸ ζῆν παρὰ τῆς πόλεως, μισθοφορούντων αὐτοῖς τῶν ἐντός τριῶν μνῶν περιουσίαν κεκτημένων. ἐδοκιμάζοντο δὲ οἱ ἀδύνατοι ὑπὸ τῆς τῶν φ' βουλῆς καὶ ἐλάμβανον τῆς ἡμέρας, ὡς μὲν Λυσίας (24, 26) λέγει, ὀβολὸν ἕνα, ὡς δὲ Φιλόχορος (fr. 68 M.) πέντε· Ἀριστοτέλης (Rep. Ath. 49, 4 Ken.) δὲ δύο ⟨φησίν⟩. |

78r Ἀδυναμία· ἐρεῖς, ὡς Δημοσθένης (19, 186), καὶ ἀδυνασία, ὡς Ἀντιφῶν (fr. 143 Bl.), καὶ ἀδυνατία ὡς Δεινόλοχος (fr. 9 Kaibel).

Ἀδυνάτων ἐρᾶν· Εὐριπίδης (Herc. 318).

Ἀδυσώπητον· ἀπροσωπόληπτον. ἢ τὸ πρὸς τὰς δεήσεις ἀμείλικτον καὶ ἀνεπίστροφον καὶ σκληρόν.

Ἄδυτον· σπήλαιον. ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ.

---

3 Wohl aus Phrynichos (vgl. Bek. 7, 6), vgl. Hes. **4—6** B 345, 10, vgl. Hes. Et. magn. 18, 35 aus Diog. **7** B 342, 4 C Sui., vgl. Hes. **8** B 342, 3 Sui. **9** B 345, 13, vgl. Hes. aus Phrynichos (Bek. 21, 2) **10** B 345, 14 **11—13** B 342, 19 C Sui. **14—20** B 345, 15 Hes. (vgl. Bek. 200, 3); z. T. anders Sui. aus Harp. **21—23** B 345, 26 **25. 26** B 345, 23 zwei Teile: 1) bis ἀπροσωπόληπτον C Sui. **27** B 345, 25 C Sui. Hes.

---

1 αὐτῇ *b* Harp. E lies αὐτὴν 4 οἱ παλαιοὶ ἀδράφαξυν *b*, verb. aus B 5 κοριάνει *b* ἀνδράφαξυν B ἕψουσα *b* ἑψοῦσα B ὁ βλὰξ B 11 Ἀδύνατα oder Ἀδύνατοι *b* 16 ἐν τοῖς τριῶν B (?) μηνῶν *b* 22 καὶ Θουκυδίδης fügt B nach Ἀντ. ein

'Αδώνιδος κῆποι· ἐν ὀστράκοις ταῦτα κατὰ τὰς οἰκίας ἐσπείρετο. χρῶνται δὲ αὐτῷ παροιμιωδῶς ἐπὶ τῶν ἐπιπολαίων καὶ κούφων. ἔσπειρον δὲ τῇ 'Αφροδίτῃ τῶν καρπῶν τὴν εὕρεσιν ἀνατιθέντες.

'Αδώνιος· Φερεκράτης (fr. 198) εἶπεν ἀντὶ τοῦ 'Αδώνιδος. λέγει δὲ καὶ τὴν αἰτιατικὴν τὸν 'Αδώνιον. οὕτω δὲ καὶ Πλάτων (fr. 4 Meineke II 694, 59) καὶ Κρατῖνος (fr. 376), ἀλλὰ καὶ 'Αριστοφάνης (fr. 737) καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις.

'Αδώνια· συνεσταλμένως· ''Αδώνι' ἄγομεν καὶ τὸν Ἄδωνιν κλάομεν'. Φερεκράτης (fr. 170). καλοῦσι δὲ καὶ τὸ εἴδωλον τὸ τοῦ 'Αδώνιδος οὕτως, 'Αδώνιον.

'Αδώνια· βραχεῖαν ἔχει τὴν παραλήγουσαν, ὡς 'Αριστοφάνης (Pac. 420) καὶ Φερεκράτης (fr. 170) διὰ τῶν μέτρων μαρτυρεῖ. ἔστι δὲ τὰ 'Αδώνια ἑορτή, οἳ μέν φασιν εἰς τιμὴν 'Αδώνιδος ἀγομένη, οἳ δὲ τῇ 'Αφροδίτῃ. ἔστι δὲ Φοινίκων καὶ Κυπρίων.

⟨Α⟩δώρητος· ἐρεῖς, ὡς Εὐριπίδης (Hec. 42)· 'οὐδ' ἀδώρητος φίλων ἔσται πρὸς ἀνδρῶν'. καὶ Θουκυδίδης δευτέρᾳ (65)· 'χρημάτων τε ἀφανῶς ἀδώρητος γενόμενος'. Πλάτων μέντοι γε ἐν Συμποσίῳ (197 d) ἄδωρος εἶπεν· καὶ γάρ φησιν· 'ἄδωρος δυσμενείας', ἀντὶ τοῦ μὴ διδοὺς δυσμένειαν. ἐρεῖς δὲ καὶ ἀδωροδόκητος ὡς Δημοσθένης (z. B. 19, 27), ἀλλὰ καὶ ἀδωροδοκήτως ὡς ὁ αὐτός (z. B. 18, 250).

Ἄδωρος χάρις· ἡ μὴ ἐπὶ τέλος ἐλθοῦσα δωρεά. οὕτως Εὐριπίδης (fr. 869) . . . . .

'Αεί· ἀντὶ τοῦ ἕως καὶ ἀντὶ τοῦ μέχρι. κοινότερον μὲν ἐπὶ τοῦ κατὰ πάντα χρόνον καὶ ἐν παντὶ καιρῷ, ἔστι δὲ ὅπου καὶ ἀντὶ τοῦ ἕως καὶ μέχρι. Πλάτων ἐν Συμποσίῳ (217 d)· 'ἐπειδὴ δεδειπνήκαμεν, διελεγόμην ἀεὶ πόρρω τῶν νυκτῶν', καὶ ἐν ἄλλοις πολλοῖς. καὶ Εὐριπίδης ἐν Μηδείᾳ (670)· 'ἄπαις γὰρ δεῦρο ἀεὶ τείνεις βίον'. καὶ ἄλλοι πολλοί.

1—3 Vgl. Sui. Gl. 1; aus Pausanias(?) **4—7** B 346,1 **8—10** Sui. **11—14** B 345, 29 **15—21** B 346, 11 **22. 23** B 346, 19 aus Phrynichos (Bek. 26, 11) **24—29** Zwei Teile: 1) bis μέχρι (24) Sui., vgl. Harp.; 2) B 346, 21, vgl. Hes. vgl. Photios Amphiloch. Diels Hermes 26, 256.

---

2 ἐπιπô *b* 4 Lies ἀντὶ τοῦ Ἄδωνις 12 μερῶν *b* 17 διαφανῶς ἀδωρότατος Thuc. cod. (cf. Hes. Sui. s. v. 'Αδωρότατος) 19 δυσμενείᾳ *b* 23 Lücke von 8—10 Buchstaben für den Titel. Eurip. benutzt Soph. Aias 665. 28 τείνεις εἰς βίον *b*

ʼΑειδέϲ· λυπηρόν.

ʼΑειθαλήϲ· ἀεὶ θάλλων.

ʼΑεὶ κολοιὸϲ παρὰ κολοιὸν ἱζάνει· παροιμία. ὅτι οὐ μόνον ἐϲτὶ τὸ ζῷον φιλάλληλον καὶ ἀγεληδὸν πετόμενον, ὡϲ οἱ ψᾶρεϲ, ἀλλὰ καὶ ἁλίϲκεται διὰ τὴν ἑαυτοῦ ϲκιὰν προϲερχόμενον ταύτῃ καὶ καθʼ ὕδατοϲ ὁραθείϲῃ, ὥϲ φηϲι Κλέαρχοϲ.

ʼΑείζων· ἐρεῖϲ τριϲυλλάβωϲ, ὡϲ οἱ ʼΑττικοί, καὶ ʼΑείζωον τετραϲυλλάβωϲ. ἔϲτι δὲ ὅμοιον τῷ ἀείνῳ, ὃ ϲημαίνει τὸ ἀένναον. ὥϲπερ οὖν ἀπὸ τῆϲ ϲῶοϲ εὐθείαϲ διϲυλλάβου γίνεται ϲῶϲ εὐθεῖα μονοϲύλλαβοϲ, καὶ ἡ αἰτιατικὴ ϲῶν, οὕτωϲ ἀπὸ τῆϲ ζῶϲ ὀρθῆϲ μονοϲυλλάβου, ᾗ κέχρηται καὶ Ὅμηροϲ (Ε 887), γίνεται ἡ αἰτιατικὴ ζῶν καὶ 78r κατὰ ϲύνθεϲιν ἀείζων, ὡϲ Αἰϲχύλοϲ | Γλαύκῳ Ποντίῳ (fr. 28)· ʽὁ τὴν ἀείζων ἄφθιτον πόαν φαγώνʼ. Σοφοκλῆϲ (fr. 674) δὲ τὴν εὐθεῖαν ἔφη· ʽἀείζωϲ γενεάʼ. ἀπὸ δὲ τῆϲ ζωόϲ διϲυλλάβου εὐθείαϲ φιλόζωοϲ εἶπεν ὁ κωμικὸϲ Πλάτων, ἧϲ ἡ γενικὴ ζωοῦ. ἣν Αἰϲχύλοϲ (fr. 29) κατὰ ϲύνθεϲιν προάγει εἰπών· ʽκαὶ γεύομαί πωϲ τῆϲ ἀειζώου πόαϲʼ.

ʼΑείζων πένθοϲ ἐρεῖϲ, ὡϲ Σοφοκλῆϲ (fr. 675), καὶ ἀείζωον ἕλκοϲ.

ʼΑειλογία· πολυλογία ἢ ταυτολογία. τὸ μέντοι ῥῆμα, ἤτοι τὸ ἀειλογεῖν, ἀδόκιμον. δηλοῖ δὲ καὶ τὸ ἑκάϲτοτε διδόναι λόγον καὶ ἀπολογίαν καὶ τὸ διὰ παντὸϲ ἐξεῖναι λέγειν. καὶ τὸ ἀεὶ λόγον καὶ εὐθύναϲ ὑπέχειν. οὕτω Δημοϲθένηϲ (19, 2) καὶ ʼΙϲαῖοϲ (fr. 141 S.).

Ἄειλα· τὰ πολύϲκια χωρία κατὰ ϲτέρηϲιν τῆϲ ἕληϲ. οὕτωϲ Αἰϲχύλοϲ (fr. 334).

ʼΑείνων· τὸ ἀένναον, ʼΑριϲτοφάνηϲ τριϲυλλάβωϲ Βατράχοιϲ (146) καὶ ἄλλοι πολλοί.

ʼΑείνωϲ γλῶϲϲα καὶ ἀείνωϲ φωνή καὶ ὀργή καὶ ἐπιθυμία, καὶ

---

1 Vgl. unten S. 38, 24 **2** B 346, 29 C Sui. Hes. **7—17** B 347, 16 aus Phrynichos (Bek. 22, 16) **18** B 347, 30 wohl aus Phrynichos **19—22** Zwei Teile: 1) bis λέγειν (21) B 346, 31 Sui. aus Phrynichos (Bek. 21, 18); 2) Sui. aus Harp. (vgl. An. Ox. II 488, 15) Et. gen. (bis ὑπέχειν, ohne Quellenangabe) **23. 24** B 347, 32, vgl. Hes. Bis ἕληϲ Et. gen. (ohne Quellenangabe) **25. 26.** B 348, 1 Sui. **27**— p. 36, **6** B 347, 7 aus Phrynichos

---

1 Lies ʼΑηδέϲ 3 παρκολοιὸν *b* 4 ψάρεϲ *b* 6 ὁραθεὶϲ *b* 8 Also ging Glosse ʼΑείνωϲ voraus, wie in B 9 διϲυλλάβωϲ *b* 18 καὶ fehlt B (daher Sophokles-Fragm. falsch erklärt; es wird durch Aesch. Suppl. 988 ἄχθοϲ ἀείζων gesichert); mit ἀ. ἕλκοϲ vgl. Lukrez I 34 *aeterno vulnere amoris*, daher wohl alexandrinisch ἀείζων ἕλκοϲ ⟨ἔρωτοϲ⟩. 25 ἀέναον *b*

ἐπὶ τῶν ὁμοίων, χρῶ. Κρατῖνος (fr. adesp. 37 K.)· 'γλῶσσάν τέ σοι δίδωσιν ἐν δήμῳ φορεῖν καλῶν λόγων ἀείνων, ᾗ πάντα κινήσεις λέγων'. ἐρεῖς δὲ καὶ τὸ ἀείνως ποταμός καὶ κρήνη διὰ τὸ ἐγκεῖσθαι τῇ λέξει τὸ νάειν, ὅπερ ἐστὶ ῥεῖν· ἴδιον δὲ ὕδατος τὸ ῥεῖν. τὸ δὲ γλῶττα ἀείνως πάνυ καινὸν καὶ ἐναργῶς εἴρηται ἐπὶ τῆς δεινῆς εἰπεῖν.

Ἀείταν· τὸν ἑταῖρον, Ἀρίσταρχος δὲ τὸν ἐρώμενον.

Ἀειφυγία· ἡ εἰς ἀεὶ φυγή.

Ἄελλα· ἀνέμων συστροφή.

Ἀελλόπους· ταχεῖα τοὺς πόδας.

Ἀελλάδες ἵπποι· αἱ ταχεῖαι. καὶ τοῦτο τραγικόν (Soph. O. R. 466).

Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι· ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων, οἱ δέ ἐπὶ τῶν ἀξίως τιμωρουμένων.

Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος· ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλάττεσθαι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.

Ἀειεστώ· Ἀντιφῶν τὴν ἀϊδιότητα ἐν Ἀληθείας β′ (fr. 97 Bl.), καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἑστάναι. ἡ λέξις Διογενιανοῦ.

Ἄερκτον· ἀντὶ τοῦ ἄφρακτον καὶ πανταχόθεν ὁρώμενον. Λυσίας (7, 28).

Ἀεροβατεῖν· εἰς τὸν ἀέρα περιπατεῖν.

Ἀετός· τό τε πτηνὸν ζῷον καὶ τὸ ἐπὶ τῷ προπυλαίῳ, ὃ καὶ νῦν ἀέτωμα λέγεται. ἡ γὰρ ἐπὶ τοῖς Προπυλαίοις κατασκευὴ ἀετοῦ μιμεῖται σχῆμα ἀποτετακότος τὰ πτερά. ἔστι δέ τις καὶ βοτάνη ἐν Λιβύῃ. οἱ δέ φασιν ἀετὸν τῶν οἰκοδομημάτων τὸ κατὰ τὸν ὄροφον.

Ἀετὸν ἵπτασθαι διδάσκεις· ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινάς, ἃ ἐπίστανται μᾶλλον τῶν ἐθελόντων διδάσκειν.

---

7 B 348, 2, vgl. Sui. (Aristophanes Fr. 738 ist zu streichen) **8** B 346, 30 Sui. **9** B 346, 33 C Sui. **10** Sui., vgl. B 346, 32 C **11. 12** aus Phrynichos, vgl. Hes. **15—17** Sui. **18. 19** Sui. aus Harp., vgl. Hesych (Diogenian) **20. 21** B 347, 4 Sui. aus Harp. **22** B 347, 6 Sui. Hes. **23—26** Zwei Teile: 1) bis Λιβύῃ (26) B 348, 1 zum Teil aus Diogenian, vgl. Hesych und Pamphilos bei Galen de simpl. med. fac. 6; 2) aus Harp. (vgl. An Ox. II 488, 17) **27. 28** Sui.

---

1 γλῶτταν B 2 νικήσεις Meineke, aber vgl. Arist. Equ. 213ff. und die Einleitung 7 Lies Ἀίταν Ἀριστοφάνης B 14 ἀξίων *b* 18 Ἀεὶ ἔστω *b* 23 προπυλ^{ω} *b*

Ἄζα· ξηρασία. σημαίνει καὶ τὸ ἐν ἀγγείῳ ὀλίγον ὑγρόν. οὕτως Πραξιφάνης.

Ἀζάλιον· ξηρόν. ἢ ἄγαν ζέον.

79r Ἄζειν· τὸ διὰ τοῦ στόματος | ἀθρόως ἐκπνεῖν Ἀττικοί, μιμούμενοι τὸν ἦχον τοῦ πνεύματος. οὕτως Νικοχάρης (fr. 19). καὶ τὸ στένειν Σοφοκλῆς (fr. 893).

Ἀζήν· ὁ πώγων κατὰ Φρύγας. ἡ λέξις Ἡρῳδιανοῦ.

Ἀζηνία· καὶ Ἁμαξέντια καὶ Ἀναγκαῖα ἔτι δὲ ⟨Ἀ⟩χερδοὺς καὶ Ἀγριάδαι δῆμοι πάντα ταῦτα Ἱπποθοωντίδος. καὶ φυλαί, ἀφ' ἧς ὁ φυλέτης Ἀζηνιεύς ⟦Ἀζηνεύς⟧.

Ἁζηνιεῖς καὶ Ἑρχιεῖς καὶ Ἁλιεῖς καὶ πάντα τὰ ὅμοια δασέως φησὶ φθέγγεσθαι τοὺς Ἀττικοὺς παλαιοὺς Πολέμων ἐν τοῖς πρὸς Ἀδαῖον καὶ Ἀντίγονον (fr. 65 Preller).

Ἀζησία· οὕτως ἡ Δημήτηρ παρὰ Σοφοκλεῖ (fr. 894), οἱ δὲ τὴν εὐτραφῆ.

Ἀζήτητον· τὸ ζήτησιν καὶ κατηγορίαν ἔχειν κεκωλυμένον. οὕτως Αἰσχίνης (III 22).

Ἀζύμου κράσεως· ἀντὶ τοῦ γλίσχρας. καὶ τὸ ἄζυμον ἐν Τιμαίῳ (74 d)· 'τὴν δὲ δὴ τῶν νεύρων φύσιν ἐξ ὀστοῦ καὶ σαρκὸς ἀζύμου κράσεως μίαν ἐξ ἀμφοῖν'. λέγεται γὰρ κρέα γλίσχρα τὰ ἄσαρκα καὶ δερματώδη. τινὲς δὲ γλίσχρον τὸ ἐπίπονον καὶ ταλαίπωρον. Πολιτείας γ' (?).

Ἄζυξ· ὁ μὴ συνεζευγμένος γάμῳ.

Ἀηδές· λυπηρόν.

Ἀηδόνα· ἔστι μὲν ἡ ὄρνις, ἐκ μεταφορᾶς δὲ οἱ τραγικοὶ τὴν γλωσσίδα τῶν αὐλῶν λέγουσιν, ἔστι δ' ὅπου καὶ τὸν αὐλόν. ἡ λέξις Διδύμου (Schmidt p. 86).

Ἀηδόνειος θρῆνος· Αἰσχύλος (fr. 291)· 'θρηνεῖ δὲ γόον τὸν

---

1. 2 B 348, 14 **3** B 348, 16, vgl. Hes. **4—6** B 348, 18. 17 Hes., vgl. Et. magn. 22, 53 **7** B 348, 21 Herod. Lentz I 15, 8, vgl. Et. gen. = Et. magn. 22, 36 **8—10** Zwei Teile 1) bis Ἱπποθοωντίδος B 348, 23, vgl. Hes.; 2) B 348, 12 Sui. aus Harp. (vgl. An. Ox. II 488, 19) **11—13** Sui., vgl. Hes. **14. 15** B 348, 26, vgl. Hes. **16. 17** Sui. aus Harp. **18—22** B 348, 28 **23** B 348, 10 Sui. **24** B 349, 1 C Hes., vgl. oben S. 36, 1 **25—27** B 349, 3, vgl. Hes. Gl. 2 **23**— p. 39, **3** Drei Teile: 1) bis ἀηδόνειον: (39, 1) B 349, 6; 2) bis αἰτιῶ (39, 2) B 349, 8; 3) B 349, 10

---

3 Lies Ἀζαλέον 5 νικόχαρις *b* B 8 So auch B, lies Ἁμαξαντία καὶ Ἀνακαία 9 ἱπποθοοντίδος *b* 9 Lies καὶ Ἀζηνία δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, ὁ δημότης 10 ἀφ' ἧς ὀφειλέτης ἀζη|Ανιευς *b* (A rot, in Zeilentrennung)

ἀηδόνειον’. καὶ ὕπνος· Νικοχάρης (fr. 16 K.)· ‘εἰ πεύσομαι τὸν ἀηδόνειον ὕπνον τῆς νυκτὸς ἀποδαρθέντα σαυτόν αἰτιῶ’. καὶ κλαγγή. Νικόμαχος (fr. 1)· ‘μέλπουσι τὴν ἀηδόνειον κλαγγή⟨ν⟩’.

Ἀηδόνος· ἐπὶ μὲν ὕπνου τὸ ἐλάχιστον, ἐπὶ δὲ λύπης τὸ σφοδρότατον.

Ἄηνα· δένδρα μικρὰ ἄκαρπα.

Ἄησιν· ἀναπνεῖ. Αἰσχύλος ἐν Ὅπλων κρίσει· ‘καὶ διὰ πνευμόνων θερμὸν ἄησιν ὕπνον’. καὶ ἀντὶ τοῦ χειμῶνα Εὐριπίδης Ἀλκμέωνι· ‘ὡς ἀμελές, ὦ δύστηνε, σῶμ’ ἔχεις σέθεν. — ἐν τοῖσδε ἄησιν καὶ θέρος διέρχομαι’.

Ἀήσυρον· ἀσθενὲς καὶ κενόν.

Ἄητον· πολύ, ἀβλαβές, καὶ οἱονεὶ ἄατον (Φ 395)· ‘θάρσος ἄητον ἔχουσα’. οἱ δὲ ὁρμὴν ἀποδεδώκασιν, ἀπὸ τῶν ἀητῶν μετενεγκόντες, οἵ εἰσι βίαια καὶ σφοδρὰ πνεύματα.

Ἀθαμβής· ἄφοβος.

Ἀθάρην· οὐκ ἀθάραν τὴν ἐρεικτὴν καλοῦσιν. Ἀριστοφάνης Πλούτῳ (673) ‘ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη.’ ⟨καὶ ἐν⟩ Γήρᾳ ‘⟨ἀ⟩θάρης ἀνακαλύψασα μεστὸν τρύβλιον’. Κράτης Ἥρωσιν (fr. 9)· ‘οὐκοῦν ἔτνους χρὴ δεῦρο τρύβλιον φέρειν καὶ τῆς ἀθάρης’.

Ἀθέλδεται· διηθεῖται. Διοκλῆς Μελίτταις (fr. 7)· ‘καὶ διὰ τετρημένων ἀθέλδεται τύπων’.

Ἄθεσμος βλάβη· ἦσάν τινες ἄθεσμοι καλούμεναι βλάβαι, περὶ ὧν νόμος οὐκ ἦν κείμενος. τὸ δὲ αὐτὸ ἐκαλεῖτο καὶ ἄθεσμος δίκη.

Ἀθέμιστα· ἄδικα.

Ἀθέμιστος· ἄνομος.

Ἀθεσίαν· παραβασίαν.

Ἀθέμιστα καὶ ἀνόσια δρᾶν· Δείναρχος (fr. 89, 4 S.) εἶπε καὶ Ξενοφῶν (Sophokl. fr. 676). καὶ ἀθεμιστότεροι Ξενοφῶν (Cyr. VIII 8, 5), | καὶ ‘ἀθέμιστοι μοῦσαι’ εἶπεν Ἀγάθων ἐν Ἀλκμέωνι (fr. 2). **79v**

---

4. 5 Hes. **6** Hes. **7—10** B 349, 2 (bis ἀναπνεῖ) **11** B 349, 12 Et. magn. 23, 20 **12—14** Hes. **15** B 349, 13 Sui. **16—19** B 351, 33 ff., vgl. Sui. **20. 21** B 350, 14 Hes., anders Sui. Et. gen. Ἀθέλδεται· διηθεῖται (ohne Quellangabe) **22. 23** B 350, 16, vgl. Hes. **24** B 349, 14 C Sui. **25** B 349, 15 C Sui. **26** B 350, 20 C Sui. **27—29** B 353, 5

---

1 νικόχαρις *b* B 4 Ἀηδόνος] ἀηδονὸν *b* ἀηδόνων Hes. 9 ἀλκμαίωνι *b* ἀμελές E. Schwartz ἄμπελον *b* 16 οὐκ ἀθάρην *b* ἐρικτὴν *b* 17 ἀνακαλύψωσε με εἰς τὸ τρ. *b* 20 διατετριμμένον B διατετριμμένων *b* 25 παράβασιν C 29 ἀθέματοι B ἀλκμαίωνι *b* ἀλκμαίονι B

Ἀθετεῖν· ἐπὶ τοῦ μὴ ἁρμόζειν. Δίφιλοϲ κέχρηται.

Ἄθετοϲ· ὁ ἀποίητοϲ. οὕτωϲ Ποϲείδιπποϲ (fr. 39 K.).

Ἀθεώρητοϲ· ὁ ἀθέατοϲ.

Ἀθήλυντον· ἀδάμαϲτον, ϲκληρόν.

Ἄθηλον· τὸ μὴ τεθηλόϲ.

Ἄθηλον παιδίον· τὸ ἄτροφον, τὸ τροφῆϲ μὴ μετειληφόϲ. οὕτωϲ Ἀριϲτοφάνηϲ (Lys. 881).

Ἀθηνᾶ ἱππία· ἢ ὅτι ἐκ τῆϲ τοῦ Διὸϲ κεφαλῆϲ, ὡϲ ὁ μῦθοϲ, μεθ' ἵππων ἀνήλατο, ἢ ὅτι, ὡϲ Μναϲέαϲ (fr. 2), ἡ Ποϲειδῶνοϲ καὶ Κόρηϲ τῆϲ Ὠκεανοῦ θυγάτηρ Ἀθηνᾶ τὸ ἅρμα τῶν ἵππων ἐξεῦρεν. ἄλλοι δέ φαϲιν ⟦ὡϲ⟧ Ἄδραϲτον φεύγοντα καὶ ἐπὶ Κολωνοῦ ϲτήϲαντα τοὺϲ ἵππουϲ Ποϲειδῶνα καὶ Ἀθηνᾶν ἱππίουϲ προϲαγορεῦϲαι.

Ἀθηναίαϲ· ὁ Μεγακλείδηϲ οὔ φηϲι καλεῖϲθαι τὰϲ γυναῖκαϲ, ἀλλ' Ἀττικάϲ, ἐν τοῖϲ περὶ Ὁμήρου, ἅμα καὶ τὴν αἰτίαν ἀποδιδούϲ· μόνουϲ γάρ φηϲι τοὺϲ ἐκεῖθεν ἄνδραϲ μὲν Ἀθηναίουϲ ὀνομάζουϲι, γυναῖκαϲ δὲ Ἀττικάϲ, ἵνα μὴ τὴν ἄγαμον αἱ γαμούμεναι τῇ προϲηγορίᾳ καταιϲχύνωϲιν. Φερεκράτηϲ δὲ ἐν Γραυϲί φηϲιν (fr. 34)· 'Ἀθηναίαιϲ αὐταῖϲ τε καὶ ταῖϲ ϲυμμάχοιϲ' καὶ Κάνθαροϲ (fr. 5 K.) Τηρεῖ· 'γυναῖκα Ἀθηναίαν καλήν τε καὶ ἀγαθήν'. καὶ Φιλήμων Πτερυγίῳ (fr. 66)· 'τὰϲ Ἱππονίκαϲ τάϲδε καὶ Λυϲιϲτράταϲ καὶ Ναυϲινίκαϲ τὰϲ Ἀθηναίαϲ λέγω'. — οἱ δὲ μὴ δεῖν φάϲκοντεϲ Ἀθηναίαϲ λέγεϲθαι τὰϲ Ἀττικὰϲ ⟦καὶ⟧ τὴν ὁμωνυμίαν αἰτιῶνται, ἣν ἐπιδέχονται πρὸϲ τὴν θεόν — Ἀθηναία γὰρ ἡ θεὸϲ καλεῖται — ἀλλ' ἀντὶ τοῦ Ἀθηναίαϲ φαϲὶν ἀϲτὰϲ λέγεϲθαι καὶ Ἀττικάϲ. πλὴν πολλή γε ἡ χρῆϲιϲ τῆϲ φωνῆϲ ἐπὶ τῶν γυναικῶν παρὰ τοῖϲ ἀρχαίοιϲ, ὡϲ οἵ τε προειρημένοι ποιηταὶ μαρτυροῦϲι καὶ Δίφιλοϲ ἐν Ἀμάϲτριδι (fr. 10)· καὶ Ἴων δὲ τὴν Θεμιϲτοκλέουϲ θυγατέρα Ἀθηναίαν ξένην φηϲὶ καὶ

---

1 B 350, 19 **2** B. 350, 21 **3** B 349, 28 Sui. aus Harp. (vgl. An. Ox. II 488, 20) **4** B 349, 16 C Sui., vgl. 350, 22 Teil II **5** B 350, 22 (mehr), vgl. Hes. **6. 7** B 350, 23 **8—12** B 350, 25 (= Bek. 207, 32, Teil II aus Harp. Ἱππία Ἀθηνᾶ). **13**—p. 41 **3** Sui. Zwei Teile: 1) bis λέγω (21) aus Aelius Dion. oder Pausanias, vgl. Eust. 84, 17 und 1456, 44 (Schwabe p. 122, vgl. auch 50); 2) aus Oros (vgl. Stephanos Byz.) gegen Phrynichos, der z. T. dieselben Belegstellen benutzt hatte. Vgl. Einleitung

---

8 ἱππεία *b* B 9 ἵππου B Lies Κορύφηϲ 11 nach ὡϲ schwerlich Name ausgefallen 12 ἱππείουϲ *b* προϲαγορευθῆναι B 17 δὲ] τε *b* ἀλλ' ἰδού Sui. richtiger 18 τοῖϲ ϲυμμ. *b* 20 πτέρυγι *b* Sui. 20 ἱππωνίκαϲ *b* 21 λέγων *b* 24 ἀϲτὰϲ] αὐτὰϲ Sui.

Πίνδαρος ἐν Σκολίοις. ὁ μέντοι Φρύνιχος ἀνάττικόν φησιν εἶναι τὴν φωνὴν ⟨καὶ⟩ θαυμάζει, πῶς ὁ Φερεκράτης ἀττικώτατος ὢν χρῆται τῇ λέξει.

Ἀθηνόδωρος· ⟨ὄνομα⟩ κύριον. ἦν δ' οὗτος στρατιώτης Ἀθηναῖος.

Ἀθμονεύς· Ἀθμονία δῆμός ἐστι φυλῆς τῆς Κεκροπίδος, ἀφ' οὗ ὁ δημότης Ἀθμονεύς.

Ἀθήρ· ἡ ἀκμὴ τοῦ ἠκονημένου σιδήρου κατὰ μεταφορὰν ἐκ τοῦ ἀθέρος, ὅς ἐστι τοῦ στάχυος τὸ ἄκρον καὶ λεπτότατον, ἀφ' οὗ τὸ ἀθηρηλοιγόν καὶ ἀθερίζειν πεποίηται. οὕτως Φιλωνίδης.

Ἄθηρος ἡμέρα· σεμνὴ πάνυ ἡ συμπλοκὴ καὶ ἀξίωμα οὐ μικρὸν ἔχουσα. καὶ γὰρ ὁ χρησάμενος τῇ φωνῇ καὶ τῇ φράσει Αἰσχύλος ἐστὶν ἐν Τοξότισι (fr. 241). πρόσεστι δὲ τῷ σεμνῷ τῆς λέξεως καὶ τὸ πολιτικόν. λέγεται δὲ ἐπὶ Ἀκταίωνος· 'οὔπω τις Ἀκταίωνα ἄθηρος ἡμέρα κενόν, πόνου πλουτοῦντα, ἔπεμψεν εἰς δόμους'. συγγράφων χρῶ, φησὶν ὁ Φρύνιχος.

Ἀθάρη καὶ Ἀθήρα καὶ Ἀθέρα καὶ Ἀθάρα τὸ αὐτό φασιν. ἔστι δὲ ἡ ἀθάρη ἡ ἐκ πυρῶν ἡψημένων καὶ διακεχυμένων ὥσπερ ἔτνος τροφή. διαφέρει δὲ τοῦ ἔτνους, ὅτι τὸ μὲν ἔτνος ἐκ κυάμων ἢ πισῶν ἢ ἁπλῶς κατερεικτῶν ὡντινωνοῦν | σκευάζεται, ἡ δὲ ἀθάρη, **80r** ὥσπερ εἴρηται, πυρῶν ἡψημένων καὶ διακεχυμένων. ἔστι δὲ ἡ χρῆσις τῆς λέξεως πολλὴ παρὰ τοῖς Ἀττικισταῖς, κατὰ μὲν τὸ τέλος διὰ τοῦ η̄ προαγομένη, κατὰ δὲ τὴν μέσην διὰ τοῦ ᾱ. κατὰ δὲ πολλοὺς ἄλλους κατὰ μὲν τὸ τέλος διὰ τοῦ ᾱ, κατὰ δὲ τὴν μέσην διὰ τοῦ η̄. οὕτως δὲ καὶ Ἑλλάνικος (fr. 179) καὶ Σώφρων (fr. 77 Kaibel) ἐχρήσαντο. ἐκτείνουσι δὲ ⟨καὶ⟩ τὸ ᾱ, ὡς ἀπὸ τοῦ ἀθήρα τῆς λέξεως μεταληφθείσης. ἴσως δέ, φασίν, ἀθέρα ἦν ἡ λέξις διὰ τοῦ ε̄ τὸ πρῶτον, ἡ ἐκ τῶν ἀθέρων κεκαθαρμένη τροφὴ καὶ ἡψημένη ἐκ τῶν πυρῶν,

4 B 349, 29 Sui. aus Harp. **5. 6** B 349, 30 Sui. aus Harp. **7—9** B 350, 32 = 353, 15 (zum Schluß hiervon vgl. unten S. 42, 20) aus Phrynichos (Bek. 21, 14) **10—15** B 351, 4 aus Phrynichos **16**—p. 42, **6** B 351, 12 aus Phrynichos (vgl. Bek. 10, 12); zu 42, 4 vgl. Phryn. Bek. 62, 29, wo es sich für Phryn. um Ionismen handelt

1 σχολίοις *b* σχ̂ο codd. Sui. Es ist weder auf fr. 124[a] Schr. (89 Boe) zu beziehen (nur um die Bezeichnung von Frauen handelt es sich), noch mit Hiller (Hermes 21, 368) an Scholien zu denken 5 Ἀθμωνεύς ἀθμωνία *b* Sui. 6 ἀθμωνεύς *b* Sui 9 ἀθηρήλαττον καὶ ἀθερίζον *b* vgl. Phryn. 14 πλουτοῦντ' B πονοῦντ' Gomperz überflüssig ἐς B 17 ἑψημένων *b* B 19 κατερικτῶν *b* 20 ἑψημένων *b* B 21 ἀττικοῖς B wohl richtig 25 καὶ aus B ergänzt 27 ἑψημένη *b* B

ὕστερον δὲ εἰς τὸ η̄ τὸ ε̄ ἐξετάθη, ὥσπερ καὶ τὸ ἔθος εἰς ἦθος. τὸ μέντοι ἀθέρα εἰς τὸ ἀθάρα Δωρικῶς γέγονεν. οἱ δὲ ἀθάρην λέγοντες Ἰακῶς φασιν· καὶ γὰρ καὶ ἄλλοις ἐχρήσαντο Ἰακοῖς διὰ τὴν ἄνωθεν συγγένειαν, ἐσημηνάμην λέγοντες ἀεὶ καὶ σημηνάμενος· ὥστε τὸ ἀθάρη παρὰ τοῖς Ἀττικοῖς λεγόμενον τὴν μὲν παραλήγουσαν κατὰ τὴν Δώριον, τὴν δὲ κατάληξιν κατὰ τὴν Ἰωνικὴν ἔσχε διάλεκτον.

Ἀθῆναι πατρίς μού ἐστι χρυσάμπυκες· Πλάτων ὁ κωμικὸς ἔφη.

Ἀθήναζε· Πλάτων Παρμενίδῃ (126a). τὸ μέντοι ἐν τῷ περὶ Ψυχῆς (57a) ἐπίστασιν ἔχει ὡς ἡμαρτημένον. φησὶ δὲ οὕτως· 'καὶ γὰρ οὔτε τῶν πολιτῶν Φλιασίων οὐδεὶς πάνυ τι ἐπιχωριάζει τὰ νῦν Ἀθήναζε'. καὶ τὸ παρὰ Ἀντιφῶντι δὲ ἐν τῷ περὶ ἀνδραποδισμοῦ λόγῳ (fr. 7 Bl.) ἐπίστασιν ἔχει ὡς ἡμαρτημένον τὴν σύνταξιν· γράφει δὲ οὕτως· 'ἐπειδὴ γὰρ ἀπῳκίσθην Ἀθήναζε καὶ ἀπηλλάγην τῆς κληρουχίας'.

Ἀθηρής· ἴσως μὲν ὁ ἀτειρής, ἢ ὁ ἄγαν θεριστικός. Αἰσχύλος Ἀγαμέμνονι (fr. 128)· 'χαλκὸν ἀθέρητον ἀσπίδος ὑπερτενῆ'. ἢ ὁ λαμπρός, ὁ διὰ λαμπρότητα ἀθρούμενος· ἢ ὁ ἀθερίζων καὶ οὐδενὸς ἔχων λόγον διὰ σκληρότητα· ἢ ⟨ὁ⟩ ὀξύς, παρὰ τοὺς ἀθέρας.

Ἀθήρ· λέγεται μὲν οὖν καὶ ἡ ἐπιδορατίς. λέγεται δὲ καὶ ἀθὴρ πυρός, ὡς Εὐριπίδης Σθενεβοίᾳ· 'παίω Χιμαίρας εἰς σφαγάς, πυρὸς δ' ἀθὴρ βάλλει με καὶ τοῦδ' αἰθάλη πυκνὸν πτερόν'.

Ἆθλον· ἀγώνισμα, ἢ τιμή. ὁ μισθός, τὸ τοῦ ἀγῶνος βραβεῖον. Ἆθλος δὲ ἀρρενικῶς τὸ ἔργον. διαφέρει δὲ τοῦ οὐδετέρου, ὅτι τὸ μὲν οὐδέτερον δηλοῖ κυρίως τὸ ἔπαθλον, τοῦτο δὲ τὸν ἀγῶνα.

Ἄθραυστον· ἰσχυρόν, ἄκλαστον.

Ἄθρει· ὅρα, βλέπε.

Ἀθρεῖν· τὸ ἐπισκοπεῖν καὶ μετ' ἐπιτάσεως ὁρᾶν. παραδειγμάτων δὲ πάντα μεστά.

---

7. 8 aus Phrynichos **9—15** B 352, 23 **16—19** B 353, 9, vgl. Hes. Ἀθερής. u. Ἀθειρής Et. magn. 25, 1 aus Diog. **20—22** Vgl. B 353, 16 Hesych, aus Atticist, vgl. Eust. 1206, 10 **23—25** Zwei Glossen: 1) bis βραβεῖον (23) B 349, 19 C Sui. (vgl. Hes.); 2) B 349, 20 C Sui. **26** B 349, 26 C Sui. **27** B 349, 27 C Sui. Hes. **28. 29** B 350, 1 Sui. wohl aus Phrynichos

---

2 λέ *b* 4 ἐσημηνάμην vgl. Phrynichos Bek. 62, 29 7 Plato: πατρὶς δ' Ἀθῆναι μοὔστιν αἱ χρυσάμπυκες 11 τῶν πολιτῶν alte Interpolation. Lies Φλειασίων 16 ἀτειρής *b* ἀτηρής B Hes. θεριστικός Hes. beidemal ἢ ὁ ἀντεριστικός *b* ἀντερειστικός B 16 Μέμνονι Wellauer 17 ἀνθερητὸν *b* der Vers ist noch nicht geheilt 22 αἰθὴρ *b* κὰκ τοῦδ' αἰθάλης E. Schwartz (vgl. Tro. 1298) 29 πάντων *b*

Ἀθροίζει· cυνάγει.

Ἀθρόουc καὶ Ἄθρουc λέγουcι διcυλλάβωc.

Ἀθράνευτον· τὸ ἄcτρωτον.

Ἄθρακτοc· ἀτάραχοc. καὶ τὸ cυνεχύθη ἐθράχθη, ὡc Σοφοκλῆc (fr. 952).

Ἄθρουc· εἰc ⟨ἓν⟩ ἅπαν⟨ταc⟩ cυνηγμένουc ὁμοῦ, ἢ ἀθρόωc.

Ἀθηνᾶ τὸν αἴλουρον· ἐπὶ τῶν κακῶc cυγκρινόντων τὰ κρείττονα τοῖc ἥττοcι διὰ μικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται, ὡc εἴ τιc διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ cυμβάλοι⟦εν⟧.

Ἄθυμοc· ὅ τε ἀόργητοc παρὰ Πλάτωνι (Rep. V 456 a) καὶ τὸ περίλυποc παρ' Αἰcχίνῃ (3, 147?). ἢ ἀντὶ τοῦ ἀθυμήτηc. Πλάτων ε' Πολιτείαc (456 a). | ἢ ὁ λελυπημένοc. ***80v***

Ἀθυμία· Ἡρόδοτοc ἐν τῷ α' αὐτοῦ λόγῳ (37) τὴν ἀτυχίαν λέγει.

Ἀθυμεῖν· ἐπὶ τοῦ τῇ ψυχῇ καταπεπτωκέναι. πολύ ἐcτιν ἐν τῇ τραγῳδίᾳ. οὕτωc Αἰcχύλοc (Prom. 490).

Ἀθυρόγλωccοc· Εὐριπίδηc Ὀρέcτῃ (903)· 'ἀνήρ τιc ἀθυρόγλωccοc'. εἴρηται δὲ ἢ παρὰ τὸ θύραν μὴ ἐπικεῖcθαι τῇ γλώττῃ, ἢ παρὰ τὸ ἀθύρειν, ὅπερ ἐcτὶν ἀδιακρίτωc ὁμιλεῖν. cημαίνει δὲ τὸν ἀθυρόcτομον, τὸν μὴ κατέχοντα τὴν γλῶτταν.

Ἄθυρμα· παίγνιον. Κρατῖνοc Ὀδυccεῦcι (fr. 145)· 'νεοχμὸν παρῆχθαι ἄθυρμα.' καὶ ἀθύρειν τὸ παίζειν. Πλάτων Νόμοιc (VII 796 b)· 'ἡ δ' αὖ παρ' ἡμῖν Κόρη καὶ Δέcποινα, εὐφρανθεῖcα τῇ τῆc χορείαc παιδιᾷ, κεναῖc χερcὶν οὐκ ᾠήθη δεῖν ἀθῦραι'.

Ἀθύρων· παίζων.

Ἀθύρωτοc· ἄκλειcτοc. Ἀριcτοφάνηc (Ran. 838).

Ἀθώπευτον· ἀκολάκευτον, ἄcπλαγχνον.

Ἄθων· τὸ ὄροc, θηλυκῶc.

Ἀθῷοc· ἀζήμιοc· θωὴ γὰρ ἡ ζημία. ἢ ὁ ἔξω τῆc αἰτίαc. Ἀθῷον δὲ τὸ ἀτιμώρητον.

---

1 B 350, 5 C Sui. **2** B 350, 3 Sui. **3** B 352, 15 Hes. (Eurip. fr. 569) **4. 5** B 352, 16, vgl. Hes. **6** B 350, 3 Sui. Hes. **7—9** Sui. **10—12** Zwei Teile: 1) bis Αἰcχίνῃ (11) B 350, 12; 2) Sui. **13** B 352, 20 **14. 15** B 352, 18 **16—19** B 352, 5 **20—23** B 350, 6 Sui. (zwei Glossen); C nur: Ἄθυρμα παίγνιον, πήδημα **24** B 350, 11 C Hes. **25** B 352, 11, vgl. Sui. **26** B 352, 12 C Sui. Hes. **27** B 352, 13, vgl. Sui. **28. 29** B 352, 14, vgl. Hes. u. Sui. mehr C

---

6 εἰc ἅπαν *b* ἢ ἀφ' ὧν B(?) Vielleicht ἢ ἀθρόωc ταχέωc E. Schwartz 9 cυμβάλειεν *b* 11 Vielleicht ἀθυμοειδὴc E. Schwartz 13 ἀτυχείαν *b* 18 ἀθυρεῖν *b* 21 παρῆφθαι *b*

Αἰ⟨αί⟩· ἠθικὸν τοῦτο. Πλάτων Γρυψίν (fr. 16)· '⟨Α⟩ἰαί· γελῶν δ' ἐπηκροώμην πάλαι'. ἔστι δὲ πολὺ παρὰ τοῖς τῆς μέσης κωμῳδίας καὶ τῆς νέας ποιηταῖς.

⟨Α⟩ἰ⟨αί⟩· ἀκόντιον Ἀθήνησι καὶ τὸ Αἰακοῦ τέμενος.

Αἶ· ψιλούμενον μὲν καὶ περισπώμενον τὸ ὄφελον σημαίνει, κατὰ ἀποκοπὴν τοῦ αἶθε, δασυνόμενον δὲ ἄ⟨ρ⟩θρον θηλυκὸν ⟦καὶ⟧ ἀναφορικόν. σημαίνει δὲ καὶ ἐπίρρημα θρηνητικὸν περισπώμενον καὶ ψιλούμενον, ὃ καὶ διπλασιάζεται· 'αἶ αἶ τάλαινα' (Lykophr. 31).

Αἰβοῖ· σχετλιασμοῦ δηλωτικὸν ἐπίφθεγμα παρὰ Δωριεῦσιν.

Αἰγάλεως· ὄρος ἐν τῇ Ἀττικῇ ἀπαντικρὺ Σαλαμῖνος.

Αἶ γάρ· εἶθε γάρ.

Αἰγείρου θέα καὶ ἡ παρ' αἴγειρον θέα· Ἀθήνησιν αἴγειρος ἦν, ἧς πλησίον τὰ ἴκρια ἐπήγνυον εἰς τὴν θέαν πρὸ τοῦ τὸ θέατρον γενέσθαι. οὕτως Κρατῖνος (fr. 339).

Αἰγιάζειν· ἀντὶ τοῦ περὶ αἰγῶν λαλεῖν. Εὔπολις (fr. 2)· 'σὺ δ' αἰγιάζεις ἐνθαδὶ καθήμενος'.

Αἰγίζει· ἀντὶ τοῦ καταιγίζει. οὕτως Σοφοκλῆς.

Αἰγίβοτος· ἐπιτηδεία αἶγας βόσκειν.

Αἰγίθαλλος· ὄρνεον κωλυτικὸν πράξεως. Ἀλκαῖος Γανυμήδῃ (fr. 3)· 'ἔοικεν αἰγίθαλλος διακωλύειν τὸ πρᾶγμα'. τῷ δὲ τόνῳ ὡς ἀρύβαλλος.

Αἰγίς· τὸ ἐκ τῶν στεμμάτων δίκτυον, καὶ πλέγμα, καὶ θῶραξ, καὶ ἡ ἐν ταῖς πεύκαις οὐλότης, καὶ τὸ τοῦ Διὸς ὅπλον, καὶ ἀνέμου συστροφή, ἣν καὶ καταιγίδα καλοῦσιν.

Αἰγίπυρος· πόα πυρρά, ἣν αἶγες νέμονται.

1—3 B 360, 6 **4** B 360, 10, vgl. Hes. Αἰάκειον **5—8** B 353, 18 Sui. Hes. **9** B 360, 11 **10** B 360, 13 **11** B 353, 25 Sui. Hes. **12—14** B 354, 25 Sui. Phot. θέαν παρ' αἴγ. **15. 16** B 353, 26 Sui. **17** Vgl. Hes. **18** B 353, 29 C Sui. **19—21** B 360, 14 **22—24** B 354, 4 (mehr) aus Aelius Dion. und Pausanias (Eust. 603, 16, Schwabe p. 92): ähnlich Hes.; Sui. kontaminiert es mit der Harpokrationglosse (unten S. 45, 21) und drittem Bestandteil. Falsch beurteilt von Schwabe **25** B 360, 19 aus λεξ. ῥητ. Eust. 307, 29 (Schwabe p. 226), anders Hes.

---

2 γελω δ επικροώμην B δὲ πικρῶς ᾤμην *b* ⟨σου⟩ πάλαι Bergk 4 Αἰαί] Für A Lücke für den Rubrikator, dann ι, dann Lücke für zwei bis drei Buchst. *b* (vgl. B). Vermischt sind drei Glossen Αἰαί, Ἀἰγανέα ἀκόντιον und Αἰάκειον· οὗ φασιν Αἰακὸν οἰκῆσαι Ἀθήνησι κτλ. 15 περιάγων *b* B verb. Bekker 16 ἐνθαδὴ *b* 17 Αἰγιάζει *b* 23 πευκίαις *b* B

Αἰγιναῖον cκάφοc· τὸ ἐξ Αἰγίνηc, καὶ Αἰγίνηθεν ἐρεῖc ηὐτομόληκαc.

Αἰγίc· περιβολαίου εἶδοc ἱεροῦ. οὕτω Δημῶναξ καὶ ἕτεροι.

Αἰγύπτιον γῆραc· Σοφοκλῆc (fr. 363)· 'πρῶτον ὄψει λευκὸν ἀνθοῦντα cτάχυν, ἔπειτα φοινίξαντα γογγύλον μόρον, ἔπειτα γῆραc λαμβάνειc Αἰγύπτιον'. cημαίνει δὲ.........

Αἰγύπτιον· ὄνομα ἐθνικὸν καὶ κύριον τοῦ Ἰθακηcίου γέροντοc.

Αἰγύπτηc· cυβώτηc, νομεύc.

Αἴγυπτοc· ὁ Νεῖλοc ποταμόc, ἀφ' οὗ καὶ ἡ χώρα ὑπὸ τῶν νεωτέρων Αἴγυπτοc ἐκλήθη.

Αἰγυπτιάζειν· τὸ πανουργεῖν | καὶ κακοτροπεύεcθαι. *81r*

Αἰγυπιόν· οἱ παλαιοί, οὐ γῦπα.

Αἰγέα καὶ Ἐρεχθέα καὶ πάντων τῶν τοιούτων ἐκτείνουcι τὸ τελευταῖον ᾱ. Δαιταλεῦcιν Ἀριcτοφάνηc (fr. 211)· 'τὸν Ἐρεχθέα μοι καὶ τὸν Αἰγέα κάλει'.

Αἰγεῖον· Δείναρχοc ἐν τῷ κατὰ Πολυεύκτου (fr. 3, 1). Α⟨ἰ⟩γεῖόν ἐcτιν Αἰγέωc ἡρῷον ἐν Ἀθήναιc.

Αἰγεῖδαι· Δημοcθένηc ἐν τῷ ἐπιταφίῳ (28), εἰ γνήcιόc ἐcτιν. ἔcτι δὲ Αἰγηῒc φυλὴ ἀπὸ Αἰγέωc τοῦ Πανδίονοc, ἧc οἱ φυλέται Αἰγεῖδαι.

Αἰγίδεc· τὰ τῶν cτεμμάτων δίκτυα, ὡc Λυκοῦργοc (fr. 23) καὶ Ἡρόδοτοc (4, 189). Νυμφόδωροc (fr. 22 M.) δὲ ταῦτα ὑπὸ Λιβύων αἰγέαc φηcὶ καλεῖcθαι.

Αἰγιλιεύc· Αἰγιλία δῆμόc ἐcτι φυλῆc Ἀντιοχίδοc, ἧc ὁ δημότηc Αἰγιλιεύc.

Αἰγίc· καταιγίc. Φερεκράτηc Μυρμηκανθρώποιc (fr. 117)· 'οἴμοι κακοδαίμων, αἰγὶc ⟨αἰγὶc⟩ ἔρχεται'.

---

1. 2 B 361, 29, vgl. Sui., wohl aus Phrynichos **3** Über die αἰγίc der Priesterin vgl. Sui. **4—6** B 361, 19 **7** B 361, 24 **8** B 361, 28, vgl. Hes. **9. 10** B 361, 26 Hes., vgl. Sui. **11** B 354, 13 Sui., vgl. Hes. Et. gen. (ohne Quellenangabe) **12** B 354, 28 Sui. **13—15** Sui. **16. 17** B 354, 8 Sui. (Teil 2) aus Harp. **18—20** B 354, 10 Sui. aus Harp. (abweichend An. Ox. II 488, 21) **21—23** Sui (vgl. B 354, 4) aus Harp. **24. 25** Sui. aus Harp. **26. 27** Sui.

---

3 ἱερόν *b* 4 Lies πρῶτον ⟨μὲν⟩ 5 γογγύλων *b* B 6 λαμβάνει cφ' Herwerden 6 nach δὲ Lücke für 6 Buchst. (vgl. B) 16 Αἴγιον *b* ἄγειον *b* 17 ἀθῆνεc *b* 21 Lies τὰ ἐκ τῶν . . δικτ. 21 Ursprünglich καὶ Νυμφόδωροc, Ἡρόδοτοc δὲ

Αἰγίλιψ· ὑψηλὴ πέτρα, ὡς καὶ τὰς αἶγας λείπεσθαι αὐτῆς ἐπιβαίνειν. ἔστι καὶ πόλις Κεφαλληνίας οὕτως καλουμένη.

Αἴγλη· λαμπηδών, αὐγή, φέγγος, φῶς. καὶ ἡ θυσία δὲ ἡ ὑπὲρ τοῦ κατακλυσμοῦ ⟦ἡ⟧ εἰς Δελφοὺς ἀπαγομένη αἴγλη ἐκαλεῖτο, ⟨καὶ ποπάνου τι εἶδος, ἐν ᾧ διεπλάσσετο εἴδωλα. καὶ βόλος φαῦλος κυβευτικὸς αἴγλη ἐκαλεῖτο⟩, ἀλλὰ καὶ ἡ σελήνη. καὶ τοῦ ζυγοῦ τὸ περὶ μέσον. καὶ παιδιά τις, καὶ ὁ Ἀσκληπιός. καὶ χλιδὼν δέ τις οὕτως ἐκαλεῖτο. ἔνιοι δέ φασι σημαίνειν καὶ τὸν περιπόδιον κόσμον, ἢ τὸν ἀμφιδέα, ἢ ἁπλῶς ψέλλιον. σημαίνει δὲ καὶ τὴν πέδην ὡς παρ' Ἐπιχάρμῳ (fr. 20 Kaib.).

Αἰγλήεντος· λαμπροῦ.

Αἴγλης Χάριτες· πιθανῶς ἐγενεαλόγησαν τὰς Χάριτας Αἴγλης καὶ Ἡλίου, ἐπεὶ τὰς Χάριτας λαμπρὰς εἶναι δεῖ.

Αἴγλη· χλιδών. παρὰ Σοφοκλεῖ (fr. 527).

Αἰγὸς τρόπον μάχαιραν ἐσκάλευσά ⟨μοι⟩· λέγεται μέντοι καὶ ἑτέρως ἡ παροιμία Αἲξ ποττὰν μάχαιραν, ὡς Χρύσιππος καὶ Κλέαρχος. τάσσεται δὲ ἐπὶ τῶν ἑαυτοῖς προξενούντων κακά. ἡ γὰρ αἲξ σκάλλουσα τὴν μάχαιραν εὑρίσκει, δι' ἧς θύεται. καὶ ἄλλως· ἀπὸ Κορινθιακῆς παροιμίας Ἡ αἲξ δοῦσα τὴν μάχαιραν. οὕτω λέγεται· Κορινθίων γὰρ τῇ Ἀκραίᾳ Ἥρᾳ θυόντων, ἣν λέγεται ἱδρύσασθαι Μήδεια, οἱ τὴν παροχὴν μεμισθωμένοι γῇ κρύψαντες τὴν μάχαιραν ἐσκήπτοντο ἐπιλελῆσθαι, ἡ δὲ αἲξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευσεν. ἄλλοι δέ φασιν ὅτι ἐν Κορίνθῳ τῆς Μηδείας παισὶ μετὰ τὸ ἐναγίσαι τὴν μάχαιραν ἀποκρύπτουσι, τῷ δὲ ἑξῆς ἔτει τὸ μέλλον πάλιν ἐναγίζεσθαι ἱερεῖον τοῖς κέρασιν ἀνορύττει τὴν μάχαιραν.

Αἰδέσιμον· ἀξιοτίμητον, καλόν.

---

1. 2 Sui., vgl. Hes. Et. gen. (vgl. magn. 47, 43 . . . . . αἰγίλιψ, εἰς ἣν (ἧς B εἰς ὃν τόπον C D) καὶ αἲξ μὴ δύναται ἀναβῆναι. οὕτως Ὠρίων. ἔστι δὲ καὶ ῥητορικὴ ἡ λέξις. **3—10** B 354, 15 Sui. aus Pausanias und Nebenquelle vgl. Eust. 823, 27 (Schwabe p. 95), vgl. außerdem C (Αἴγλη· λαμπηδών, αὐγή) und Hes. Αἴγλη Gl. 2 Αἰγλάηρ Αἴγλας Αἴγλη Gl. 1 **11** B 354, 14 C Sui. Hes. **12. 13** B 355, 11 Sui. Hes. **14** Hes. **15—25** Zwei Teile: 1) bis θύεται (18); 2) erste Hälfte, bis ἀνεσκάλευσεν Phot. Ἡ δὲ αἲξ (= Sui. Αἰγὸς τρόπον und Αἴξ). Anders Hes. **26** B 353, 30 C Sui.

---

4 ergänzt aus B (doch scheint nach Sui. mehr ausgefallen) 7 wohl καὶ ⟨Αἰγλάηρ⟩ ὁ Ἀσκλ. vgl. Hes. 7 χληδὼν *b* 12 ἐγενεαλόγησαν: Antimachos vgl. Pausanias IX 35, 5 16 παρ' τὰν *b*, verb. E. Schwartz 19 δούς *b* 20 ἀσκραίᾳ *b* 22 ἀνεσκάλλευσεν *b* 24 τὸ δὲ ἑξῆς ἔτι *b*

Αἰδέcαcθαι· ἀντὶ τοῦ μεταπειcθῆναι. οὕτωc Λυcίαc (fr. 74 S.) καὶ Δημοcθένηc (38, 22). ἐν δὲ τῷ κατὰ Ἀριcτοκράτουc (72) ἀντὶ τοῦ ἐξιλάcεται καὶ πείcειν.|

Αἰδέcιμοc· . . . *81v*

Αἰδοῖ εἴκων· αἰδούμενοc.

Αἰδοcύνη· ἐπὶ τῶν ἀποκεκρυμμένων καὶ ἀφανῶν καὶ λανθάνειν βουλομένων.

Ἄιδειc ἔχων· ἶcον τῷ μάτην λέγειc καὶ ληρεῖc.

Αἰδοῦc βωμόc· ⟨Αἰδοῦc⟩ καὶ Ἀφελείαc βωμοί εἰcι περὶ τὸν τῆc Πολιάδοc βωμὸν καὶ νεών, καθάπερ Ἴcτροc (vgl. fr. 15) ἱcτορεῖ.

Αἰδήμων· αἰδέcιμοc.

Ἀϊδνόν· τὸ ἀφανιcτικόν. οὕτωc Αἰcχύλοc.

Ἄϊδριc· ἄπειροc, ἀμαθήc. Αἰcχύλοc Ἀγαμέμνονι (1091)· 'τούτων ἄϊδρίc εἰμι τῶν μαντευμάτων'.

Ἄϊδροc· Ἴων Τεύκρῳ (fr. 34)· 'ἡμεῖc τ' ἄϊδροι πρὸc πέτραc ἐπταίομεν', ἀντὶ τοῦ ἄϊδριεc. καὶ ἐν Φοίνικι· 'ἐκ τῶν ἀΐδρων'.

Ἄϊδρα· ὁμοίωc μὴ πειραθέντα. ὁ αὐτὸc Ἴων Ἀλκμήνῃ· 'καὶ μὴν ἅπαντα τίκτεται πρῶτον γοναῖc ἄϊδρα, πειραθέντα δὲ ἐκδιδάcκεται'.

Ἀϊδροδίκηc· Σοφοκλῆc ἔφη.

Ἀΐδρυτα· τὰ κακά, τὰ κατάρατα, ἃ ἄλλοι αὐτοῖc οὐκ ἂν ἱδρύcαιντο. εἴρηνται δὲ καὶ αἱ cεμναὶ θεαὶ ἀΐδρυται ὑπὸ Κλειδήμου.

Ἄϊδοc κυνέη· ἀθάνατόν τι νέφοc, ὃ περιβάλλονται οἱ θεοί, ὅταν θέλωcιν ἀλλήλοιc μὴ γινώcκεcθαι. οἷον νεφέλη ἀφανήc, ἣν ὑποδυcάμενοι οἱ θεοὶ ἀθεώρητοι γίνονται ἀλλήλοιc.

Ἄιδειν· ἐπὶ τῶν ἀλεκτρυόνων Ἀττικοί φαcι, κοκκύζειν δὲ οὔ φαcι πλὴν μωκώμενοι τινὰ ξένον. δηλοῖ δὲ καὶ λέγειν καὶ ὀνομάζειν.

1—3 B 354, 33 Sui. aus Harp. (vgl. An. Ox. II 488, 23) **5** B 354 30 Sui., vgl. Hes. (C anders) **6. 7** B 354, 31 C Sui., (trotz Eust. 613, 24 nicht aus Pausanias) **8** Hes. **9. 10** Hes., aus Pausanias (Eust. 1279, 40, Schwabe p. 93) **11** B 354, 29 C Sui., vgl. Hes. **12** Vgl. Hes. **13. 14** Vgl. B 363, 9 Sui. bis ἀμαθήc C **15. 16** Vgl. Hes. Ἄϊδροι **21. 22** Vgl. B 363, 10 Et. magn. 42, 10 **23—25** Hes. 1756 **26. 27** Hes., vgl. Phrynichos Bek. 21, 24.

---

3 ἐξιλάcεται καὶ πείcειν auch Harp. E. 6 Lies Ἄιδοc κυνῆ (Aristoph. Ach. 390) 8 Αἴδηc *b* τὸ *b* 12 Ἄιδνον *b* 14 ματευμάτων *b* 15 πέτραιc *b* 16 ἀίδριδεc *b* 22 Wohl ἀΐδρυτοι. Cl. erwähnte in der Atthis die volkstümliche Bezeichnung. Der ἀΐδρυτοc heißt Arist. Lys. 809—11 Ἐρινύων ἀπορρώξ. 25 γίνωνται *b*

Αἰδέcεωc· Δημοcθένηc ἐν τῷ κατὰ Μειδίου (43)· 'τοὺc δὲ ἀκουcίωc αἰδέcεωc καὶ φιλανθρωπίαc πολλῆc ἠξίωcαν'. ὁ αὐτὸc δὲ καὶ αἰδέcηται φηcὶν ἀντὶ τοῦ αἰδοῦc καὶ τιμῆc ἀξιώcαc οἰκτείρῃ καὶ ἐξιλαcθῇ ἐν τῷ πρὸc Πανταίνετον (59), ἀντὶ δὲ τοῦ ἐξιλάcεται ἐν τῷ κατὰ Ἀριcτοκράτουc (72) εἶπε· 'καὶ φεύγειν, ἕωc ἂν αἰδέcηταί τινα τῶν προcγενῶν τοῦ πεπονθότοc'.

Ἄιδειν ὅμοιον· καινοτάτη ἡ cύνταξιc καὶ Ἀττικῶc, εἰ καί τιc ἄλλη, εἰρημένη. cημαίνει δὲ τὸ μάτην λέγειν, ὡc εἰ καὶ ἄλλοc ᾄδειν ἐθέλοι τιc ἐν οὐδενὶ πράγματι ἀνυcίμῳ. Εὔπολιc ἐν Ἀcτρατεύτοιc 'ὅμοιον ᾄδειν· οὐ γὰρ ἔcτ' ἄλλωc ἔχειν'. Ἀριcτοφάνηc δὲ ἐν Γεωργοῖc ἐξηγούμενοc τὸ ᾄδειc, ὅπερ ἐπὶ τοῦ μάτην λέγειc τίθεται, παροιμιῶδεc αὐτὸ ποιεῖ· φηcὶ γάρ· 'καὶ τὰc δίκαc οὖν ἔλεγον ᾄδοντεc τότε, νὴ Δία· φράcω δ' ἐγὼ μέγα coι ⟦καὶ⟧ τεκμήριον· ἔτι γὰρ λέγουcι ⟦οἱ⟧ πρεcβύτεροι καθήμενοι, ὅταν κακῶc ⟨τιc⟩ ἀπολογῆται τὴν δίκην, ᾄδειc'. ⟨ἐν⟩ cυνουcίᾳ χρῶ κατὰ Φρύνιχον.

Αἰδώ· χωρὶc του ῑ. 'ἀγαθὴ δὲ ἐπὶ ἤθεcιν αἰδώ'. ἡ. λέξιc Ἡρῳδιανοῦ.

Ἀιδῆ τεκεῖν τέκνα· Εὐριπίδηc Πολυίδῳ· 'δύcτηνοι καὶ πολύμοχθοι ματέρεc ἀϊδῆ τίκτουcαι τέκνα'.

Αἰδώc· παρ' Ὁμήρῳ πολλάκιc, cπάνιον δὲ παρὰ τοῖc ἄλλοιc.

82r Αἰδώ· τὸ αἰδοῖον, καὶ ἡ cελήνη παρὰ Χαλ|δαίοιc. καὶ ἡ ῥιπὴ παρὰ Λάκωcιν. καὶ ἡ τροφὸc τῆc Ἀθηνᾶc καὶ ὁ βωμὸc ὁ ἐν τῇ ἀκροπόλει.

Ἀΐειν· ἀκούειν καὶ αἰcθάνεcθαι.

Ἄιδειν τὰ Τελαμῶνοc· ἦν τι cκόλιον γεγραμμένον ἐπὶ Αἴαντι, οὗ καὶ ὁ Τελαμὼν κατεμέμικτο.

Αἶα· τὰ λεγόμενα ὄα. φυτὰ δέ ἐcτι. Διονύcιοc δέ φηcι· 'τὰ δὲ ὄα τινὲc βάμμα, οἱ δὲ αἶα, οἱ δὲ λεονέον προcαγορεύουcιν.'

1—6 B 361, 32 **7—15** aus Phrynichos vgl. Bek. 13, 8 **16. 17** Herod. Lentz II 763, 20. Philetas-Fragment **18. 19** wohl aus Phrynichos **20** Phrynichos. **21** B 355, 14 Sui. Hes. (der Schluß sicher aus Pausanias vgl. Eust. 1279, 41) **24** B 363, 11 C Sui. **25. 26** Hesych, wohl aus Pausanias **27. 28** B 362, 3, vgl. Hes. Ὄα (von Schwabe p. 92 falsch unter die Fragmente des Aelius D. aufgenommen; vgl. Reitzenstein De scriptorum rei rust. qui intercedunt inter Catonem et Columellam libris deperditis 58)

---

1 μηδείου *b* τοῦ *b* 2 ἠξίωcεν *b* 3 αἰδέcεται *b* B 3 οἰκτείρει *b* 4 ἐξιλάcθη *b* 6 τῶν ἐν γένει Dem 10 ἔχων *b* 13 τῷ τε *b* λέγουcιν *b* 14 ἀπολογῆται aus ἀπολογεῖται *b* 18 πολυείδῳ *b* 19 αἰδῆ *b* 21 Αἰδῶ *b* 27 Αἶα beidemal *b* 28 βάμα *b*

Αἰεί· δι' αἰῶνος (B 400)· 'θεῶν αἰειγενετάων'. καὶ τὸ κατὰ χρόνον. καὶ τὸ συνεχῶς καὶ πυκνῶς. καὶ τὸ δι' ὅλου (A 541)· 'αἰεί τοι φίλον ἐστιν ἐμεῦ ἄπο νόσφιν ἐόντα'. καὶ τὸ καθ' ὥραν τεταγμένην συμβαῖνον (ι 134)· 'μάλα κεν βαθὺ λήϊον αἰεί'. καὶ τὸ ἐν βραχεῖ χρόνῳ συνεχές (Ψ 502)· 'αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον.'

Αἰειγενετάων· διὰ παντὸς ὄντων, ἢ διὰ παντὸς ἐνεργούντων καὶ γενεσιουργούντων.

Αἰεὶ νέον ἐρχομενάων· οἱονεὶ διὰ παντὸς νεωστὶ ἐρχομένων.

⟨Α⟩ἰετὸν κάνθαρος μαιεύσομαι· παροιμία. τὰ γὰρ ᾠὰ τοῦ ἀετοῦ ἀφανίζουσιν οἱ κάνθαροι κυλίοντες, ἐπεὶ οἱ ἀετοὶ τοὺς κανθάρους ἀναλέγουσιν.

Αἰεὶ γεωργὸς εἰς νέωτα πλούσιος· λέγεται καὶ χωρὶς τοῦ ῑ· ἀεὶ γεωργός. μέμνηται δὲ τῆς παροιμίας καὶ Θεόπομπος ὁ κωμικὸς ἐν τῇ Εἰρήνῃ ὡς καὶ ἐν Δελφοῖς ἀναγεγραμμένης· 'ἔπειτα κἂν Δελφοῖσιν ἀνατεθῇ γραφείς· ἀεὶ γεωργὸς [[ὅτι]] χρηστὸς ἦν, πρῶτον πολὺ τὸν λιμὸν ἀποφεύγων'. ἔστι καὶ παρὰ ἄλλοις ἡ ὑπόμνησις, ὥς φησιν Εἰρηναῖος.

Αἰέλουρος· τετρασυλλάβως Ἀριστοφάνης (Ach. 879) καὶ Σοφοκλῆς.

Αἰετοί· τὰ προνόμια τῶν ναῶν, καὶ τὰ φατνώματα τῶν ὀρόφων, διὰ τὸ ἐοικέναι πτέρυξιν ἀετοῦ.

⟨Α⟩ἰθάλη· σποδός, τέφρα, τὸ ἐκ καμίνου μέλαν.

Αἰθαλίδης· δῆμος ἐστιν Αἰθαλίδαι τῆς Λεοντίδος φυλῆς, ἧς ὁ φυλέτης ⟨Α⟩ἰθαλίδης.

⟨Α⟩ἰθαλόεν· κεκαυμένον

Αἰθαλώδης· σκοτώδης.

Αἰθέρα· οὕτω τὸν ἐμπυρισμὸν λέγουσιν Ἀττικοὶ ἀπὸ τοῦ αἴθεσθαι.

Αἴθ' ὄφελεν· παραλλήλως τὰ εὐκτικὰ μόρια κείμενα κατὰ τοῦτο διαφέρει, ὅτι τὸ μέν ἐστιν ἀπαρέμφατον προσώπων, τὸ δὲ ὄφελον τὰ πρόσωπα ἐμφαίνει.

1—5 B 361, 6 Hes. **6. 7** B 361, 4 Hes. **8** B 361, 15 Hes. **9—11** Hes., vgl. Sui. Ἀετόν **12—17** Irenaeus wohl sicher durch Mittelquelle (Helladios?) benutzt **19. 20** B 361, 17 **21** B 355, 3 C Sui., vgl. Hes. **22. 23** B 355, 6 Sui. (vgl. Hes.) aus Harp. **24** B 355, 4 C Sui. Hes. **25** B 355, 5 Sui. Hes. **26** Hes. **27—29** B 355, 8 C Sui.

---

2 πικνῶς *b* τοι]τι *b* 5 ἀεὶ *b* 7 καὶ γενεσιουργούντων *b* am Rand 8 νέων *b* 10 αἰετοῦ *b* 15 γραφεῖσα *b*, verb. E. Schwartz ὅτι getilgt v. E. Schwartz. Das Zitat ist zum Schluß verkürzt, die Anspielung auf εἰς νέωτα πλούσιος weggefallen 23 Lies δημότης 28 πρόσωπον *b*

Αἴθε· εἴθε.

Αἴθεςι· λαμπροῖς.

Αἰθήρ· ὁ ἐν ὕψει ἀήρ, ὁ ἐπάνω τοῦ ἀέρος καιόμενος ὑπὸ τοῦ ἡλίου.

Αἰθιόπιον· τῆς Εὐβοίας ἐςτὶ χωρίον.

Αἰθόμενος· καιόμενος.

Αἰθρία· εὐδία.

Αἴθριος· ὁ ὑπὸ τὸν ἀέρα.

Αἴθρια ςτέφη· τὰ αἰθέρια, ἢ μεγάλα, οἳ δέ τὰ ἀπὸ τῶν δένδρων, ἢ τὰ ἐξ Ὑπερβορέων τιθέμενα.

Αἴθυγμα· οἷον ςκίαςμα καὶ ςημεῖον.

Αἰθύςςειν· ἀνακαίειν, ἀναςείειν.

Αἴθων· ἀνδρεῖος καὶ πολεμικός.

Αἰκάλλειν· ἀντὶ τοῦ ςαίνειν, ὅπερ οἱ κύνες ποιοῦςιν. οὕτως Πλάτων.

Αἰκία· εἶδος δίκης ἐπὶ πληγαῖς. εἰςήγετο δὲ ἐντὸς ἡμερῶν τεςςάρων, πρὶν ἢ τὰ ἴχνη τῶν πληγῶν ἀφανιςθῆναι. καὶ ὕβρις ἔμπληγος.

82v Αἰκίζει· κακοῖ, τύπτει. | καθυβρίζει.

Αἰκίας· εἶδος δίκης ἐςτὶν ἰδιωτικῆς ἐπὶ πληγαῖς λαγχανομένης, ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔςτιν ὡριςμένον, ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται, ὁπόςου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα, οἱ δὲ δικαςταὶ ἐπικρίνουςιν.

Αἰκῶς· χαλεπῶς. διςυλλάβως, ἀπὸ τῆς αἰκίας. οὕτως Πλάτων (fr. 225).

Αἴλινον· κοινῶς καὶ ἐπὶ θρήνου καὶ ἐπὶ ὕμνου ἐςτίν, ἀπὸ Αἰλίνου τοῦ Καλλιόπης.

---

1 C Sui. Hes. **2** B 355, 17 C Sui. **3. 4** B 355, 18 C Sui. **5** B 355, 32 Sui. aus Harp. **6** B 355, 20 C Sui., vgl. Hes. **7** B 355, 21 C. Hes. **8** B 355, 22 Sui. C Hes. **9. 10** B 355, 29 Sui., vgl. Hes. 1868 (Cratin. fr. 22) **11** B 360, 20 **12** B 360, 21, vgl. Sui. **13** B 360, 22 **14. 15** Anders B 358, 26; vielleicht Phrynichos, vgl. Bek. 21, 26 **16—18** Zwei Teile: 1) bis ἀφανιςθῆναι; 2) Sui., vgl. B 355, 23 (C ὕβρις πληγή) **19** B 355, 27 C Sui. **20—23** B 356, 1 Sui. aus Harp. (vgl. An. Ox. II 488, 26) **24. 25** B 360, 26, vgl. Hes. **26. 27** B 358, 29 Sui., vgl. Hes.

---

10 Ergänze aus B: ἐξ Ὑπερβορέων ⟨κομιζόμενα, ὡς ἀεὶ ἐν ὑπαίθρῳ⟩ τιθέμενα (vgl. Sui.) 20 Αἰκία *b* 26 Lies ἀπὸ Λίνου



Αἱμαςιά· τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον, ἤ, ⟨ὥς⟩ τινες, ἄρπεζον. καὶ οἱ Ἴωνες οὕτω χρῶνται. δηλοῖ δὲ Ἡρόδοτος ἐν τῇ α (180). φαύλως δὲ οἱ πολλοὶ τὸ χωρίον αὐτὸ τοῦτο τὸ δι' αἱμαςιῶν περιεχόμενον αἱμαςιὰν καλοῦςιν.

Αἱμαςιαῖς· τοῖς φραγμοῖς κυρίως τοῖς ἠκανθωμένοις.

Αἵματι κλαίειν· ἐπὶ τῶν πάντα πραττόντων καὶ μὴ δυναμένων πεῖςαί τινα οὕτω λέγουςιν οἱ ἀρχαῖοι.

Αἷμα νίψαι· οὕτως οἱ Ἀττικοὶ ἐπὶ τοῦ ἐκνίψαι φόνον, ὡς καὶ Δημοςθένης (fr. 50 S.).

Αἱματόεντα· αἱματώδη.

Αἱματοπώτης· οἱ Ἀττικοὶ μηκύνοντες τὸ ō προφέρουςι τὴν λέξιν, ὥςπερ καὶ τὸ οἰνοπώτης καὶ ὑδροπώτης, ἐπεὶ καὶ τὸ πόμα οἱ μὲν ἄλλοι διὰ βραχέος τοῦ ō γράφουςιν, Ἀττικοὶ δὲ ἐπεκτείνοντες.

Αἱματῶςαι· φονεῦςαι. Σοφοκλῆς (fr. 897).

Αἷμα· τὸ γένος (Z 211)· 'ταύτης τοι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι'. καὶ τῶν ἐν ἡμῖν τεςςάρων χυμῶν τὸ κυριώτατον. Σοφοκλῆς δὲ ἐν Ἠλέκτρᾳ (1394) τὴν μάχαιραν αἱμά φηςιν.

Αἱμ⟨ατ⟩ηρόν· αἵματος πλήρη.

Αἱμούς· τοὺς δρυμούς. Αἰςχύλος (fr. 9).

Αἱμύλος· κόλαξ, ἀπατεών.

Αἰναρέτης· ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτημένος.

Αἰνίγματα· ζητήματα.

Αἴνειν· τὸ ἀναδεύειν καὶ ἀνακινεῖν τὰς κριθὰς ὕδατι φυρῶντα.

1—4 B 356, 6 (interpoliert aus der folgenden Glosse) aus Aelius Dion. vgl. Eust. 1851, 23 (Schwabe p. 93). Bis τειχίον auch Et. gen., wo zum Schluß: οὕτως Ὠρίων. ἔςτι δὲ καὶ ῥητορικὴ ἡ λέξις (so umzustellen) **5** B 356, 6 (vgl. oben) C Sui. **6. 7** B 356, 13 Sui. **8. 9** B 360, 28, vgl. Eur. fr. 71 N², welches hierdurch gesichert wird **10** B 355, 28, C Sui. **11—13** aus Aelius Dion. Eust. 1716, 37 Schwabe p. 108 (aus Photios Tzetzes zu Lykophr. 796) **14** B 360, 18 Hes. Et. magn. 35, 8 **15—17** B 356, 17 Sui. Hes. Et. magn. 35, 4 **18** B 356, 16 C Sui. **19** B 360, 30 (mehr) Hes. Αἱμοί; aus Aelius Dion. (Eust. 1851, 27) **20** B 356, 22 C Sui. **21** B 356, 23 (mehr) C Sui. (vgl. Hes.) **22** B 356, 25 C Sui. **23** B 360, 32 aus Aelius Dion. (Eust. 801, 57 Schwabe p. 94). Et. magn. 36, 19 und codd. CD (die Glosse fehlt B) Αἰνεῖν (so) τὸ ἀναβράττειν τὸν ἀληλεςμένον cῖτον, τουτέςτιν ἀναδεύειν καὶ ἀνακινεῖν τὰς κριθὰς ὕδατι φυρῶντα (ohne Quellangabe)

---

1 ᾠκοδόμημα *b* | ἤ τινὲς *b* B 6. 7 in *b* verkürzt, vgl. B Sui. 18 Αἱματηρῶν C. 18 πλήρη darüber πλήρης *b* 19 Αἱμοῦς *b* 20 ἀπαταιών *b* 21 Ἀναρέτης *b* 23 Αἶνειν *b*

Αἶνος· λόγος παροιμιώδης. ἢ ἔπαινος καὶ ἐγκώμιον. ʻαἶνός τίς ἐστιν ὡς ἀνήρ τε καὶ οὐκ ἀνήρʼ.

Αἰνίους· Αἶνος πόλις ἐστὶ τῆς Θρᾴκης, ἣν Ἕλληνες τὰ πρῶτα Ἀλωπεκοννήσιοι κατῴκισαν· ὕστερον δὲ ἐκ Μιτυλήνης καὶ Κύμης ἐπηγάγοντο ἐποίκους. ἀπὸ γοῦν τῆς Αἴνου τὸ ἐθνικὸν Αἴνιοι.

Αἰξωνίδα τρίγλην (Cratin. fr. 221)· τὴν ἀρίστην φαγεῖν. κάλλισται γὰρ αἱ Αἰξωνικαί.

Αἰξωνεύεσθαι· ἐπὶ τῶν κακούργων τάττεται. ἀπὸ δήμου Αἰξωνέων. ἢ ἡ κατηγορία τοῦ Αἰξωνέως, ὡς ἀπὸ Ἀβδήρων ὁ Ἀβδηρίτης. ὡς ἐπὶ βλασφημίᾳ δὲ διαβέβληται. φησὶ γὰρ ὁ κωμικός (Menand. fr. 256)· ʻγραῦς τις κακολόγος ἐκ δυοῖν Αἰξωνέοινʼ.

Αἰξωνῆσιν· Αἰξωνεῖς δῆμός ἐστι φυλῆς Κεκροπίδος· ἐκωμῳδοῦντο δὲ ὡς βλάσφημοι· ἀφʼ οὗ καὶ τὸ κακῶς λέγεσθαι αἰξωνεύεσθαι ἔλεγον.

Αἰόλη νύξ (Soph. Trach. 94)· ἡ μέλαινα, ἢ ποικίλη διὰ τὴν τῶν ἄστρων ὄψιν.

Αἰόλη· ἡ ταχεῖα. οὕτως Αἰσχύλος (Septem 481).

Αἰολίζειν· τὸ ποικίλλειν. οὕτως Σοφοκλῆς (fr. 826).

Αἰολίδας· τοὺς ποικίλους.

Αἴολος· ποικίλος, εὐκίνητος.

83r Αἶζηοί· νεανίαι τῷ αἵματι ζέοντες, ἢ οἱ ἄγαν θερμοὶ καὶ θυμώδεις. | ἢ ὑψηλοί, μεγάλοι, ἰσχυροί.

Αἰονᾶν· καταντλεῖν. καὶ τὸ κατέχειν ἢ λούειν.

Αἱματωπόν· Εὐριπίδης (fr. 870)· ʻδράκοντος αἱματωπὸν αἷμαʼ.

Αἱματοσταγῆ· ὁ αὐτὸς (fr. 871) καὶ Ἀριστοφάνης (Ran. 471).

Αἵματος ἆσαι Ἄρηα· αἵματος κορέσαι τὸ δόρυ. ἢ αἵματι μολῦναι καὶ χρῶσαι. ἄση γὰρ ἡ ῥυπαρία. ὅθεν καὶ ἀσάμινθος, ἐν ᾗ τὴν ἄσην μινύθοντες ἐλούοντο, ὅ ἐστι τὴν ῥυπαρίαν μειοῦντες.

---

1. 2 B 356, 11 Sui (mehr) **3—5** B 358, 20 Sui. aus Harp. **6. 7** Vgl. Sui. Hes. **8—11** Zwei Glossen: 1) bis τάττεται und Schluß; 2) aus Timaios; beide vereinigt B 353, 31 **12. 13** B 358, 23 Sui. aus Harp. **14. 15** B 359, 8 Sui. Hes. **16** B 361, 1 **17** B 361, 2 Hes. **18** B 361, 3 Hes. **19** B 356, 21 C Sui. Hes. **20. 21** Hesych. **22** B 363, 16, vgl. Hes. Et. magn. 37, 27 **23** B 362, 7 **24** B 362, 9 (mehr) **25—27** B 358, 31 Sui. Hes.

---

4 καὶ ἀλωπεκ. B·vgl. Sui. κατῴκησαν *b* 6 τρίγλαν *b* 12 Αἰξωνῖσιν αἰξωνιεῖς *b* 13 Lies λέγειν 14 ἡ μέλαινα *b* 14. 15 διὰ τὰ ἄστρα B Sui. Hes. 18 ποικίλλους *b* 19 ποίκιλλος *b* 20 Αἴζηοι *b* 22 κατέχειν] wohl καταχέειν oder βρέχειν oder σμήχειν vgl. Et. Sui. Hes. 23 ὄμμα Boissonade richtig 27 τὴν ἄση *b*

Αἱμαχάναι· αἱμάξαι.

Αἱμεῖον· σφάγιον.

Αἱματοσταγής· Εὐριπίδης (fr. 871) ἔφη· 'αἱματοσταγεῖ κηλῖδι τέγγει'.

Αἱμάτου· ἐξαιμάτου. ὁ αὐτός (Andr. 260)· 'αἱμάτου θεᾶς βωμόν'.

Αἱμορρυγχία· Δώριόν ἐστι τοὔνομα, πλὴν καὶ ὁ Ἀττικὸς Ἕρμιππος (fr. 80) ἐχρήσατο τῇ φωνῇ εἰπών· 'ἐγώ σου σήμερον τύπτων τὸ πρόσωπον αἱμορρυγχίαν ποιήσω'. σημαίνει δὲ καθημάχθαι τὸ ῥύγχος. Φρύνιχος μέντοι οὐκ ἐγκρίνει τὴν φωνήν.

Αἱμοφθόρος· Θέσπις. σημαίνει . . .

⟨Α⟩ἱματοσπόδητος· Σοφοκλῆς· 'τὸν προβώμιον κλύω δαίμονα αἱματοσπόδητον'.

Αἱματορρόφος· Ἄρχιππος εἶπε. σημαίνει δὲ . . . ⟨Σοφοκλῆς δὲ⟩ (fr. 677)· 'τίς⟨ις⟩ δ' ἄνωθεν εἶσιν αἱματορρόφος'.

Αἱμόφυρτα· Νικόμαχος εἶπε. σημαίνει δὲ . . .

Αἱμῳδεῖν· καὶ τούτῳ προσεκτέον τὸν νοῦν. οἱ γὰρ πολλοὶ αἱμῳδιᾶν λέγουσιν ὥσπερ κυλοιδιᾶν, τοῦ Κρατίνου ἐν Διονυσαλεξάνδρῳ ἀπὸ τοῦ αἱμῳδῶ κλίνοντος· 'εὐθὺς γὰρ ᾐμῴδεις ἀκούων τῶν ἐπῶν τοὺς προσθίους ὀδόντας'. αἱμῳδεῖν δὲ οἱ Ἀττικοὶ τὸ τοὺς ὀδόντας μετὰ κνησμοῦ τινος ἀλγεῖν.

Αἷμον· τὸ ὄρος οὐδετέρως Ἑκαταῖος (fr. 143) διὰ παντὸς καὶ Διονύσιος καὶ Ἑλ⟨λ⟩άνικος ἐν α΄ Ἀτθίδος (fr. 101) καὶ Τίμαιος καὶ Εὔδοξος. *

Αἱμασιώδεις· Πλάτων (Leg. III 681a) εἶπε· 'περιβόλους τινὰς αἱμασιώδεις'. ἤτοι τοὺς ἐκ λίθων ἄνευ πηλοῦ κατεσκευασμένους, ἢ τοὺς ἀπό τινων ἀκανθῶν περιπεφραγμένους.

Αἱμασιολογεῖν· Θεόπομπος (fr. 73)· 'ὃς αἱμασιολογεῖν ἄριστ' ἠπίστατο'.

---

1 B 363, 15 Hesych. **2** Hes. **3. 4** Vgl. B 362, 9 (oben 52, 24) **5** B 362, 12 **6—9** B 362, 15 (vgl. Hes.) mittelbar aus Phrynichos **13. 14** B 362, 21 **16—20** Phrynichos (? Bek. 10, 6); zum Schluß vgl. Αἱμωδεῖν Et. Gud. p. 617 **21—23** B 362, 24 (Schwabe p. 93, doch ist Dionysios sicher nicht der Lexikograph, sondern der Milesier. Das Hellanikos-Fragment wird für die Atthis gesichert) **24—26** B 362, 26 **27. 28** B 362, 29

---

1 αἱ μαχαναί· αἱ ἅμαξαι Dobree, denkbar αἷμα χανεῖν αἱμάζαι *b* 2 Αἴμιον cod. Hes. 3 αἱματοσταγῆ und τεγγει (η über ει) *b* 6 Wohl Αἱμορρυγχίας (mask.) 8 τὸ πρόσωπον τύπτων *b* 8 ποιήσω auch B ποῶ Bekker 10 Ohne Zeichen der Lücke *b* (ebenso im folgenden) 13 τίσις]τίσω B τίς *b* verb. Bekker εἶσιν] ἔστιν ἢ (ἡ) B *b* verb. Bekker 17 κοιλιδιᾶν *b* verb. E. Schwartz

Αἱμυλίοιϲι· τοῖϲ μετ' ἐμπειρίαϲ ϲυνετοῖϲ καὶ προϲηνέϲι, καὶ οἱονεὶ δολίοιϲ τιϲὶ καὶ παραλογιϲτικοῖϲ, μεθ' ἡδονῆϲ καὶ κολακείαϲ ἀκουομένοιϲ.

Αἱμύλοϲ· ὁ ἔμπειροϲ. ἢ ἡδὺϲ ἐν τῷ ἀπατᾶν. καὶ κόλαξ. Πλάτων (Leg. VII 823e) 'αἱμύλοϲ Ἔρωϲ' φηϲὶ καὶ Σοφοκλῆϲ (fr. 1015), Εὐριπίδηϲ (fr. 1095) δὲ καὶ αἱμύλην εἶπε θηλυκῶϲ, Σοφοκλῆϲ (Aias 389) δὲ καὶ αἱμυλώτατον, Κρατῖνοϲ (fr. 379a. b) δὲ αἱμυλόφρων καὶ αἱμυλοπλόκοϲ εἶπεν.

Αἰπόλια· αἰγονόμια.

Αἰπόλοϲ· ὁ ἑρμαφρόδιτοϲ ὑπὸ Σινωπέων οὕτω καλεῖται.

Αἴραϲθαι· προϲενέγκαϲθαι. Κρατῖνοϲ Τροφωνίῳ (fr. 218)· 'οὐ ϲῖτον αἴραϲθαι οὐχ ὕπνου λαχεῖν μέροϲ'.

Αἱρεθέν· θεληθέν.

Αἱρηϲαμένων· βουλευϲαμένων.

Αἶρε μαϲχάλην· οὕτωϲ εἰώθαϲι λέγειν ἀντὶ τοῦ ὀρχήϲαϲθαι ἢ κωθωνίζεϲθαι.

Αἱρεῖ· καταλαμβάνει.

Αἱρετίζειν· οἱ περί τι ϲπουδάζοντεϲ λέγονται. πολὺ τοῦτο παρὰ τοῖϲ νεωτέροιϲ τῶν κωμικῶν.

Αἱρήϲειν· ϲυλλαβεῖν, ἑλκύϲαι, χειρώϲαϲθαι, πορθῆϲαι. καὶ Αἱρήϲεϲθαι· λαβεῖν.

83v Αἱρήϲομαι· ϲκέ|ψομαι, λήψομαι, βουλεύϲομαι, ἐκλέξομαι.

Αἶρε δάκτυλον· τίθεται ἐπὶ τῶν ἀπαγορευόντων ἐν τῇ ἀγωνίᾳ. ἐπαίρεϲθαι γὰρ τὴν χεῖρα ϲύμβολον τοῦ νενικῆϲθαι.

Αἱρεῖϲθαι· ἐργάζεϲθαι.

Αἴρειν· καὶ τὸ προϲφέρειν δηλοῖ καὶ τὸ παρατιθέναι· 'αἶρ' αἶρε μᾶζαν ὡϲ τάχιϲτα κανθάρῳ' Ἀριϲτοφάνηϲ Εἰρήνῃ (1), καὶ μετὰ τῆϲ προθέϲεωϲ Φερεκράτηϲ Πετάλῃ (fr 137)· 'πρόϲαιρε τὸ κανοῦν, εἰ δὲ βούλει, πρόϲφερε'. ἐτίθεϲαν δὲ τὴν λέξιν καὶ ὡϲ ἡμεῖϲ ἐπὶ τοῦ παρακειμένην ἀφελεῖν τὴν τράπεζαν. Μένανδροϲ Κεκρυφάλῳ

1. 2 B 362, 31 Hes. **3—7** B 363, 1 (anders Schol. Plat.) **8** B 356, 27 Sui. Hes. **10. 11** B 358, 2 Sui. **12** B 356, 28 C Sui. **13** B 356, 30 C Sui. Hes. **14. 15** B 356, 31 Sui. (beide weniger) Hes. Αἴρειν μ. **16** B 357, 2 C Schol. Plat. Theaet. 142 b **19. 20** Zwei Glossen: B 357, 1 C Sui. und B 357, 3 C Sui. Hes. **21** B 357, 5 C Sui. Hes. **22. 23** B 357, 30 Sui. **24** B 358, 1 Sui. **25**—p. 55 **4** B 358, 4

4 καὶ fehlt *b* (?) 10 Lies Ἄραϲθαι οὐχ ὕπνου λ. μ. οὐ ϲῖτον αἰρ. *b* (verb. von *b* selbst) 14 Lies Ἆραι 16 Αἶρει *b* 19 Αἱρήϲαϲθαι *b* Sui. 27 πετάλοιϲ *b*

(fr. 273)· ‘εἶτ’ εὐθὺς οὕτω τὰς τραπέζας αἴρετε· μύρα στεφάνους ἑτοίμαςον, cπονδὰς ποίει’. καὶ Συναριςτώςαις (fr. 451)· ‘ἂν ἔτι πιεῖν μοι δῷ τις. ἀλλ’ ἡ βάρβαρος ἅμα τῇ τραπέζῃ καὶ τὸν οἶνον ᾤχετο ἄραςα ἀφ’ ἡμῶν’.

Αἰνῶ· παραιτοῦμαι καὶ ἐπαινῶ. Σοφοκλῆς (fr. 105).

Αἰρόμενος· φερόμενος.

Αἱρούμενος· βουλόμενος.

Αἱρεῖ· καταλαμβάνει.

Αἴρειν ἔξω πόδα πηλοῦ· παροιμία ἐπὶ τῶν μὴ βουλομένων ἐν πράγμαςιν εἶναι. λέγεται δὲ καὶ αἴρειν ἔξω πόδα αἰτίας.

Ἅιπερ· ὥςπερ.

Αἰόλλει· πλανᾷ.

Αἴςιος· ὁ καθήκων, ἀληθής.

Αἰςυητῆρι· χοιροβοςκῷ.

Αἲξ οὐρανία· τὰ τοῦ λευκοῦ κυάμου γένη, ᾧ ἐπεψήφιζον καὶ ἐχειροτόνουν. ὁ δὲ Κρατῖνος (fr. 244)· ‘καθάπερ ⟦τοῦ⟧ Διὸς αἶγα Ἀμαλθείαν τροφόν,’ οὕτως ⟦καὶ⟧ ‘τῶν δωροδοκούντων αἶγα οὐρανίαν’. οἳ δὲ τὰ εἰς τὸ ἀργυρίζεςθαί τιςιν ἀφθόνως ἀφορμὴν παρέχοντα οὕτως εἰώθαςι λέγειν κωμῳδοῦντες ⟦καὶ καταλαμβάνειν⟧.

Αἴςακος· ὁ θαλλὸς τῆς μυρρίνης, ὃν κατέχοντες ἀντὶ βαρβίτου παρὰ πότον ᾖδον. οἳ δέ φαςι τῆς δάφνης τὸν κλάδον, ὃν κατέχοντες ὕμνουν τοὺς θεούς.

Ἀϊςτωθείη· ἀφανιςθείη.

Ἀΐςτωρ· ἀνήκοος, μὴ πεπειςμένος νόμῳ.

Ἀϊςτώςας· ἀντὶ τοῦ διαχέας, τήξας. Σοφοκλῆς (fr. 493).

Αἴςχιον· ἀντὶ τοῦ αἰςχρόν. Θουκυδίδης (II 40?).

Αἴς⟨θ⟩εςθαι καὶ αἰςθάνεςθαι. ἔνιοι διαφορὰν ὑπέλαβον εἶναι τούτων καὶ δὴ ἀπεφήναντο τοὺς ῥήτορας κεχρῆςθαι τῷ αἴς⟨θ⟩εςθαι

---

5 B 358, 28 Sui. Hes. **6** B 357, 4 C Sui. **7** B 358, 19 Sui. **8** B 357, 2 C Sui., vgl. oben S. 54, 16 **9. 10** Sui. **11** Hes. **12** B 360, 5 Sui. (beide mehr), vgl. Hes. **13** B 357, 8 Sui. δίκαιος ἀληθής C **14** B 537, 9 C Sui. **15—19** Sui., vgl. Hes; anders Photios u. Sui. Οὐρανία αἴξ und Pausanias (Eust. 917, 47 Schwabe p. 95) **20—22** Zwei Glossen 1) bis ᾖδον vgl. Plut. quaest. conv. I 1, 5 p. 615 b 2) B 359, 26 Sui. Hes. **23** B 363, 13 Sui. **24** Plato-Glosse (Leg. 8, 845 b), anders B 363, 12 Sui. Timaios **25** Hes. **26** B 363, 5 **27**—p. 56 **4** B 359, 6 gegen Sui. (der reicher)

---

2 ποίηςον B (?) 11 Αἴπερ *b* 16 ἀμαλθίαν *b* 19 καὶ καταλαμβάνειν (so auch Sui.) vielleicht aus Glosse Αἴρειν B 359, 20 28 τῷ]τὸ *b*

μὲν ἐπὶ τοῦ ἀκριβῶc εἰδέναι τι, τῷ δὲ αἰcθάνεcθαι ἐπὶ τοῦ ὑπονοεῖν. ἡμεῖc δὲ περὶ ἀμφοτέρων ἐροῦμεν. τὸ αἰcθάνεcθαι κατὰ ἀλήθειαν οἱ παλαιοὶ ἐπὶ τοῦ εἰδέναι τι ἔταξαν· οὕτωc Ἀντιφῶν (fr. 68 Bl.)· καὶ ἐπὶ τοῦ ὑποπτεύειν, ὡc Λυcίαc (fr. 8 S.)

Αἶcχοc· ἀτιμία.

Αἰcχίω· χείρω.

Αἰcχροεπεῖν· αἰcχρολογεῖν.

Αἰcχυνόμενοc περιπλέκει τὴν cυμφοράν· ἐν cυνουcίᾳ ⟨χρῶ⟩.

Αἰτιαζομένουc· τοὺc ἐν αἰτίᾳ ὄνταc.

Αἴτιον γενέcθαι· ἀντὶ τοῦ ἐν αἰτίᾳ. Θουκυδίδηc (VIII 56).

Αἰτναῖον πῦρ· 'τὸ Cικελικὸν πῦρ ἐκ τοῦ ὄρουc τοῦ λεγομένου Αἴτνη καὶ αἰτμίζοντοc'.

Αἰχμάcουcι· δορατομαχήcουcιν.

Αἰχμή· ἡ ἐπιδορατίc, ὁ cίδηροc τοῦ δόρατοc.

Αἰχμητήc· πολεμικόc. |

84r Αἰών· μυελόc, ὡc Ἱπποκράτηc (Epid. VII 122 L.), ἢ βίοc, ἢ χρόνοc ἀΐδιοc, ἢ ζωή.

Αἰῶ· τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰcχύλοc.

Αἰωνίζει· διὰ παντόc ἐcτιν.

Αἰώρα· ἡ μετέωροc κίνηcιc. ἀγχόνη, ὕψοc, ἔπαρcιc.

Αἰωρήcειc· κρεμάcειc.

Αἰωροῦνται· κρέμανται.

Αἰτούμενοc· κιχράμενοc. Μένανδροc Ὕμνιδι· (fr. 476)· 'οὐ πῦρ γὰρ αἰτῶν οὐδὲ λοπάδα αἰτούμενοc'.

Αἰνίζομαι· ⟨θαυμάζω⟩, ἐπαινῶ. ἢ καταπλήccομαι. παρὰ τὸν αἶνον. ὅ ἐcτι δεινόν. τὸ εἰc αἶνον καὶ παραβολὴν ἄγω· οἷον αἰνιγματοῦμαί cε.


Αἶρα· cφύρα, ἢ ἀξίνη.

---

5 B 357, 11 C Sui. **6** B 357, 10 C Sui. Hes. **7** B 363, 6 aus Phrynichos (Bek. 26, 15) **8** B 359, 4 Sui. aus Phrynichos (Bek. 3, 22) **9** B 363, 7 **10** B 363, 8 **11. 12** B 357, 13 C Sui. **13** B 357, 12 C Sui. Hes. **14** B 357, 15 C Sui. Hes. **15** B 357, 16 C Sui. **16** B 357, 18, vgl. Sui. Hes. (Erot. p. 74 Kl.) **18** B 363, 17 **19** B 357, 19 Sui. **20** Zwei Teile 1) bis κίνηcιc 2) B 357, 20 C Sui. **21** B 357, 21 C Sui. **22** B 357, 22 C Sui. **23. 24** B 359, 14 Sui. (Ammonius) vgl. Harp. Ἠιτήμην. **25. 26** B 359, 16, vgl. Hes. **27** B 359, 19 Hes., vgl. Sui.

---

1 μὲν]μου *b* τὸ δὲ *b* ἐπὶ τοῦ ἐπινοεῖν *b* 7 Αἰcχροπρεπεῖν *b* 8 χρῶ fehlt auch B Sui. 12 αἰτνίζοντοc B Sui. vielleicht καιομένου καὶ ἀτμίζοντοc 13 Αἰχμάcουcι auch Hes. δωρατομ. *b* 17 ἡ ζωὴ *b* 20 μετέωροc zu μετεώρων *b* 25 θαυμάζω Hes. fehlt *b* μαζω B 26 ὃ ἐcτι δ. Einschub aus der Erklärung des Komanos (vgl. Hes. B)



Cod. Berol. graec. oct. 22 fol. 84

Αἶρειν· κατὰ κράτος τι λαμβάνειν. καὶ καταλαμβάνειν. ἢ αὔξειν.

Αἱρεῖς· δοξάζεις, ἡγῇ.

Αἰρόπινον· σκοτεινόν. καὶ κόςκινον, ἐν ᾧ πυροὶ ςήθονται ὑπὲρ τοῦ τὰς αἶρας διελθεῖν.

Αἴςθων· αἰςθανόμενος. καὶ βαςανιζόμενος. ἢ ἐκπνέων.

Αἴςιμα· τὰ προςήκοντα, παρὰ τὴν αἶςαν. ἐνίοτε δὲ τὰ καθήκοντα, ἢ τὰ ἀγαθά. ἔςθ᾿ ὅτε δὲ τὰ εἱμαρμένα.

Αἴςιον· μέτριον, δίκαιον. καὶ ὑπεραίςιον· τὸ ὑπὲρ τὸ μέτριον.

Αἰςυμνῆται· οἱ τοῦ ἀγῶνος προεςτῶτες. ἢ νεανίαι. ἢ νεμηταί, ὅ ἐςτι βραβευταί.

Αἰςυμνήτην· βαςιλέα, ἄρχοντα, ἐπιςτάτην. ἢ τύραννον καὶ βραβευτὴν καὶ πάρεδρον.

Αἰςχύνει· αἰκίζεται, λυμαίνεται, αἶςχος περιτίθηςι.

Αἰτήςαςθαι· τὸ χρήςαςθαι. Μένανδρος Τίτθῃ (fr. 461)· ʽἢ ἄν τις ὑμῶν παιδίον ᾐτήςατο ἢ κέχρηκεν, ἄνδρες γλυκύτατοιʼ; καὶ ἐν Ὕμνιδι (fr. 476)· ʽοὐ πῦρ γὰρ αἰτῶ⟨ν⟩ οὐδὲ λοπάδα αἰτούμενοςʼ.

Ἀκαδημία· τρία ὑπῆρχον γυμνάςια, Λύκειον Κυνόςαργες Ἀκαδημία. ἐκλήθη δὲ ἀπὸ καθιερώςαντος αὐτὸ Ἀκαδήμου.

Ἀκάθεκτος· ἀκατάςχετος.

Ἀκαθοςίωτον· ἄνομον, ἄκοςμον, ἀπόβλητον.

Ἄκαινα· μέτρον δεκάπουν. ἔςτι δὲ ῥάβδος, ⟦ἐν⟧ ᾗ κεντοῦςι τοὺς βόας, ὡς τῶν Πελαςγῶν τοῦτο εὑρόντων.

Ἄκακος· ὁ κακοῦ μὴ πεπειραμένος, οὐχ ὁ χρηςτοήθης. οὕτως Σαπφώ (fr. 149 B⁴). λέγεται δὲ καὶ ὁ χρηςτὰ ἤθη ἔχων, εἰ καὶ ἐπ᾿ ἔλαττον.

Ἀκακία· ἁπλότης.

Ἀκαλήφη· κνίδη καὶ ἡ χερςαία καὶ ἡ θαλαττία, ἥτις ἐςτὶ

---

1 Zwei Glossen 1) bis καταλαμβάνειν B 359, 20 (verschrieben für Αἱρεῖν?) 2) B 359, 21 Sui. **2** B 359, 22 Sui. Hes. **3. 4** B 359, 24 Sui. Hes. (anders Phrynichos Bek. 22, 11) **5** B 359, 28 Sui. **6. 7** B 359, 29 Sui., vgl. B 357, 7 Et. magn. 39, 23 **8** B 359, 32 Sui. Et. magn. 39, 21 **9. 10** B 359, 33 Sui., vgl. Hes. **11** Vgl. Et. magn. 39, 15 **13** B 360, 3 Sui. Hes. **14—16** B 360, 4 (kürzer) Sui. **17. 18** B 363, 18 Sui. aus Harp. **19** B 357, 23 Sui. (C. Ἀκ. ἀκράτητος, vgl. Hes.) **20** B 357, 24 Sui. (C bis ἀκόςμιτον so), vgl. Hes. **21. 22** B 357, 25 C Sui., vgl. Schol. Apoll. Rh. 3, 1323 und Hes. **23—25** B 370, 14 **26** B 370, 17 **27**—p. 58 **6** B 370, 18 Sui. aus Herodians Symp., vgl. Ath. III 90a Hes. (Miller Mélanges p. 382)

---

2 Αἵρεις *b* 5 Lies Ἀίςθων 14. 15 Lies ἤδη τις C. F. Hermann 20 Ἀκαθωςίωτον *b*

κογχυλίδιόν τι. Ἀριστοφάνης Φοινίσσαις (fr. 560)· ‘εἰκὸς δήπου πρῶτον ἁπάντων ἀναφῦναι καὶ τὰς κραναὰς ἀκαλήφας’. Φερεκράτης Αὐτομόλοις (fr. 24)· ‘νὴ τὴν Δήμητρ’, ἀνιαρὸν ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν. βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι’. τὰς δὲ θαλαττίας καὶ Ἀριστοτέλης ἀκαλήφας ἐν τῷ πρώτῳ περὶ ζῴων (p. 487a 25) καὶ Θεόφραστος ἐν ἑβδόμῳ Φυσικῶν.

Ἀκαμαντίς καὶ Ἀκάμας· μία τῶν δέκα φυλῶν, ἀπὸ Ἀκάμαντος τοῦ Θησέως.

Ἀκάμπιον· ἀντὶ τοῦ ἀκαμπές. Σοφοκλῆς.

Ἀκάμπιος· ὁ ἐπ’ εὐθείας δρόμος καὶ περίπατος.

Ἄκανοι· οὕτως αἱ ἄκανθαι.

Ἀκαπήλευτον· ἄδολον, καθαρόν, ἀρᾳδιούργητον.

Ἀκαρῆ· βραχύ, ὀξύ, ὃ οὐχ οἷόν τε κεῖραι.

84v Ἀκαρής· ὀξύς, βραχύς. διττῶς δὲ λέγεται παρὰ τοῖς | Ἀττικοῖς, καὶ ὀνομαστικῶς, οἷον ἀκαρὴς χρόνος, καὶ τῷ ἀκαρεῖ, καὶ τὸν ἀκαρῆ, καὶ ἐπιρρηματικῶς ἀκαρῆ ἀντὶ τοῦ βραχέως καὶ συντόμως.

Ἀκαριαῖον· μικρόν, βραχύ. ῥοπή.

Ἄκαρ· τὸ μικρὸν ἢ οὐδέν. οὕτως Ἀντιφῶν (fr. 146 Bl.).

Ἄκασκα· ἥσυχα, βραδέα. Κρατῖνος Νόμοις (fr. 126)· ‘ἢ πρεσβῦται πάνυ γηραλέοι σκήπτροισιν ἄκασκα προβῶντες’.

Ἀκαταλήκτως· ἀκαταπαύστως.

Ἀκαταλλήλως· ἀναρμοδίως.

Ἀκάτιον· μικρὸν πλοῖον.

Ἀκάτια· ὑποδημάτων εἶδος.

---

7. 8 B 363, 29 Sui. aus Harp. **9** B 370, 31 **10** B 363, 21 Sui. (vgl. Hes.) aus Pausanias (Eust. 1328, 22 Schwabe p. 96), ähnlich Methodios im Et. gen. **11** B 370, 32 **12** B 357, 28 C Sui. **13** Sui. Ἀκαρές, vgl. Hes. (B 363, 23 mit der folgenden Glosse verbunden) Schol. Plat. Axioch. 366 c **14—16** B 363, 23 (C bis βραχύς) **17** B 363, 28 C Sui. **18** B 363, 31 Sui. aus Harp. (E) **19. 20** B 371, 1 Hes. aus Aelius Dion. (Eust. 668, 28 Schwabe p. 96) **21** B 363, 32 C Sui. **22** B 363, 33 C Sui. **23** B 364, 1 C **24** B 371, 4 Hes.

---

1 εἰκὸς δήπου *b* B Sui. ἔχε τὸν Ath. πρῶτον φυαφῦναι B πρῶτον ἁπάντων φύα φῦναι Sui. (?) πρῶτον πάντων ἴφυα φῦναι Ath. 2 καὶ] εἶθ’ ἑξῆς Ath. 3 νὴ] μὰ *b* ⟨ἄρ’⟩ ἦν Dind. 6 φυτῶν B φυτ κῶν Küster 15 ἀκαρεῖ] ἀκαρῆ *b* 17 Lies ⟨καὶ ἀκαριαία⟩ ῥοπή 18 Ἄκαρ für ἀκαρῆ auch Harp. E. 20 πρεσβύταις . . γηραλαίοις *b* 20 προβοῶντες *b*

Ἄκατος· φιάλη, διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ. οὕτως Θεόπομπος (fr. 3 K.).

Ἀκατεύναστος· ἀκοίμιστος.

Ἀκεανοί· τὰ ἐν τοῖς φακοῖς στρογγύλα καὶ δυσκατάκοπτα ὄσπρια.

Ἀκέραιον· ἄκακον, ὁλόκληρον, καθαρόν. σημαίνει καὶ τὸν ἔξω κήρας.

Ἀκερδὴς χάρις· ἡ μὴ δεόντως διδομένη.

Ἀκειρεκόμης· τὴν κόμην μὴ κειρόμενος.

Ἀκέραιος· ὁ μηδὲν κακὸν πεπονθώς.

Ἀκέσασθαι καὶ ἀκέσαι· ἰάσασθαι. ὅθεν καὶ Ἀττικοὶ τὴν ἠπήτριαν ἀκέστριαν καλοῦσιν.

Ἀκεῖσθαι· λέγεται θεραπεύειν, παραιτεῖσθαι, ἰᾶσθαι. καὶ ἀπάγειν ἐπαγωγὰς ἐκ γοητείας καὶ μαγγανείας ἐπηγμένας τισί. Πλάτων ἐν δευτέρῳ Πολιτείας (364c). Σοφοκλῆς δὲ ἐν Ἀντιγόνῃ (1027) ἐκλαμβάνει τὸ ἀκεῖσθαι ἐπὶ τοῦ ἁμαρτίαν ἐπανορθοῦσθαι κατὰ μεταφοράν.

Ἄκεσιν· ἴασιν.

Ἀκεσίπονον· θεραπευτικόν.

Ἀκέσματα· ὑγιάσματα, ἰάματα.

Ἀκεσμόν· ἰατρείαν.

Ἀκεσίας· ἰατρός. καὶ Ἀκέστωρ.

Ἀκέστας· ἰατρούς.

Ἀκεσταί· οἱ τὰ ἱμάτια ἀκούμενοι. Ξενοφῶν (Cyrop. I 6, 16)· ‘ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἀκεσταί’.

Ἀκέφαλον· ἀτελείωτον. Πλάτων Νόμων ἕκτῳ (752a)· ‘μῦθον ἀκέφαλον ἑκὼν καταλείπομαι’.

---

1. **2** B 371, 5 aus Herodians Symp., vgl. Athen. XI 502a Hes. Ἀκάτιον **3** B 364, 2 C Sui. Hes. **4** B 371, 7 Hes. aus Aelius Dion. (Eust. 1528, 44 Schwabe p. 96) **5. 6** B 364, 5 Sui.; zwei Teile: 1) bis καθαρόν aus C; 2) aus Timaios **7** B 364, 3 Sui. **8** B 364, 4 C Sui. **10. 11** B 364, 8 C Sui. (vgl. Hes.) vgl. Aelius Dion. (Eust. 1647, 57 Schwabe p. 97) **12—16** Vgl. Sui. und Hes aus Phrynichos (Bek. 27, 26) **17** B 364, 10 C Sui. Hes. **18** B 364, 11 C Sui. **19** B 364, 12 C Sui. Hes. **20** B 364, 13 C Sui. Hes. **21** B 371, 19 und 364, 14 C (unter Ἀκέστωρ und Ἀκεσίας danach Ἀκέστας· ἰατροὺς καὶ ἀκέστωρ) **22** B 364, 14 C Sui. **23. 24** B 364, 15 **25. 26** B 371, 20

---

4 Ἀκέανοι B 6 κήρας auch Tim. vgl. Ruhnken 12 ἀπάγειν ἀπαγωγάς *b* 15 ἐκλαμβάνεται *b* 22 Lies Ἀκεστάς 25 μῦλον zu μῦθον *b* 26 Lies καταλίποιμι

Ἀκή· ἀκμὴ cιδήρου. καὶ ἡ ἡcυχία.

Ἀκήδεcτοι· μηδεμιᾶc φροντίδοc τυχόντεc. ἢ ἀκήδευτοι καὶ ἄταφοι.

Ἀκηδήc· ὁ μὴ φροντίζων. καὶ ἄταφοc.

Ἀκήματα· ἰάματα.

Ἄκη· πόλιc ἐν Φοινίκῃ, ἣν οἱ μὲν τὴν νῦν Πτολεμαΐδα καλουμένην οὕτω πάλαι φηcὶν ὀνομάζεcθαι, Δημήτριοc δὲ οὐ τὴν πόλιν ἀλλὰ τὴν ταύτηc ἀκρόπολιν.

Ἀκηλίδωτον· ἄcπιλον, ἀκήρατον.

Ἀκήρατοc· ἄφθαρτοc, ἀπαθήc, ἀκέραιοc.

Ἀκίβδηλον· καθαρόν.

Ἀκίβδηλοc ἀνήρ· ὁ πολλοῦ ἄξιοc καὶ δόκιμοc. οὕτω Φρύνιχοc.

Ἀκίδαc· τοῦ βέλουc τὰc ὀξύτηταc.

Ἀκιδωτὸc ὅρμοc· cυγκείμενοc ἐκ πολλῶν ἀκίδων.

Ἀκιδνότερον (c 130)· ἀcθενέcτερον, μεταφορικῶc ἀπὸ τοῦ μὴ κίειν, ἤγουν μὴ ἰcχύειν, ἢ κίκυν μὴ ἔχειν, οἷον ἰcχύν, διὰ τὴν τῆc ψυχῆc ἀcθένειαν. Δίδυμοc δὲ ταλαιπωρότερον καὶ ἀθλιώτερον ἔφη.

Ἄκικυc· ἀcθενήc, ἀδύνατοc. κατὰ cτέρηcιν ἤτοι τοῦ κίειν, ἢ τῆc κίκυοc, ἥτιc παρὰ τὴν κίνηcιν λέγεται, ἰcχὺc οὖcα.

Ἀκινάκηc· μικρὸν δόρυ Περcικόν.

Ἀκκιζόμενοc· θρυπτόμενοc, προcποιούμενοc, γυναικιζόμενοc. ἢ μωραίνων, ἀπό τινοc γυναικὸc μωρᾶc, ἥτιc ἐκαλεῖτο Ἀκκώ. cημαίνει δὲ καὶ τὸν θέλοντα μέν, προcποιούμενον δὲ μὴ θέλειν.

Ἀκκιcμούc· προcποιήcειc, ὑποκρίcειc.

Ἀκιόμενοι· ἐπιcκευάζοντεc. μεταφορικῶc ἀπὸ τοῦ θεραπεύειν.

Ἀκίονεc· ἀcτήρικτοι.

85r Ἀκληρεῖ· οὐ μετέχει, | οὐ κεκλήρωται.

---

1 B 364, 20 C Sui. Hes. **2** B 364, 22 Sui., anders C **3** B 364, 21, vgl. Sui. **4** B 364, 25 C Sui. Hes. **5—7** 364, 17 Sui. aus Harp. (Et. gen. = magn. 47, 25 benutzt Oros, der aus Harp. schöpft) **8** B 364, 24 Sui. Hes (C mehr) **9** B 364, 27 C (bis ἀπαθήc) Sui. **10** B 364, 28 C Sui. **11** B 371, 22 (mehr) aus Phrynichos **12** B 364, 29 C Sui. Hes. **13** B 371, 24 **14—16** B 371, 9 (weniger), vgl. Hes. Sui. **17. 18** B 371, 10 Hes. **19** B 364, 30 Sui. (C umgeformt), anders Harp. **20—22** B 364, 32 C Sui. (vgl. Et. gen. = magn. 49, 3) **23** C Sui., vgl. B 364, 31 Hes. **24** B 371, 14, vgl. Hes Ἀκίμενοι (vgl. Et. magn. 46, 38) **25** B 371, 13 Hes. **26** B 365, 3 C Sui.

---

6 φηcὶν auch Harp. E. 15 κίχυν *b* 17 Ἄκικηc *b* 24 Lies Ἀκειόμενοι (ἀκιόμενοι auch B) 26 Ἀκληρί *b*

Ἄκληροι· ἔξω τοῦ κεκληρῶσθαι. Εὐριπίδης (Troad. 32).

Ἀκληρία· ἀτυχία. Σοφοκλῆς (fr. 898).

Ἀκλήρῳ (λ 489)· πτωχῷ, κλῆρον μὴ ἔχοντι μηδὲ οὐσίαν· κλῆρος γὰρ ἡ οὐσία, ὅθεν καὶ ἐπίκληρος.

Ἄκλυτον· ἀνώνυμον.

Ἀκλητί· ἄνευ κλήσεως.

Ἀκλόνητον· ἄσειστον, ἀδόνητον.

Ἀκμάζει· νεάζει.

Ἀκμάζεις· τὰ νέων πράττεις. οὕτως Ὑπερείδης (fr. 122 Bl.) καὶ Λυσίας (fr. 188 S.).

Ἀκμαῖος· νεανίσκος σφριγῶν.

Ἀκμή· ὀξύτης, αὐτὴ ἡ ῥοπὴ τῆς τοῦ πράγματος ἐπιτάσεως. καὶ ἡ δύναμις. καὶ ἡ νεότης. Ἀκμὴ δὲ καιροῦ· ἡ εὐτυχία. οὕτω καὶ Ἰσοκράτης (2, 33)· 'τὸ μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν'. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἔτι. οὕτως Ὑπερείδης (fr. 116 Bl.)

Ἀκμὴ καλεῖ· καιρὸς καλεῖ.

Ἀκμῆτες· μὴ κάμνοντες.

Ἀκμητί· ἀκαμάτως.

Ἀκμοθέτῳ· τῷ κοιλώματι, ἐν ᾧ ὁ ἄκμων τίθεται.

Ἀκμονίδης· ὁ Χάρων καὶ ὁ Οὐρανός. Ἄκμονος γὰρ παῖς.

Ἀκνίσωτος οἶκος· ὁ ἄνευ πυρὸς καὶ κνίσης. οὕτως Αἰσχύλος (fr. 292).

Ἄκοιτις· γαμετή.

⟨Ἀ⟩κολασία· ἀκρασία.

Ἀκόλαστον· ἀκρατῆ, θρασύν.

Ἀκόλαστον καὶ ὑβριστὸν πρᾶγμα ἢ ἄνθρωπος. λέγοι δ' ἂν τις καὶ ὑβριστικόν.

---

1 B 367, 14 **2** B 367, 15. **3. 4** B 371, 16 Hes. **5** B 371, 18 Sui. Hes. **6** B 365, 4, vgl. Sui. **7** B 365, 5 Sui. **8** B 365, 7 C Sui. **9. 10** B 365, 9 Sui. aus Harp. (An. Ox. II 488, 28) **11** B 365, 8 Sui. **12—15** B 365, 10 Sui. (C nach Ἀκμάζει νεάζει: ἀκμὴ γὰρ ἡ νεότης als neue Glosse, dann Ἀκμὴ καιροῦ κτλ.) **16** B 365, 15 C Sui. Hes. **17** B 365, 16 Sui. Hes. (C umgeformt) **18** B 365, 17 C Sui. **19** B 367, 11 Hes. **20** B 367, 12 Hes. **21. 22** B 368, 29 **23** B 365, 19 **24** B 365, 20 C Hes. **25** B 365, 21 C Sui. **26. 27** B 365, 23 Sui. aus Phrynichos

---

2 ὁ σοφοκλῆς *b* (ὁ rot) 5 Ἄκλυτον in B richtig überliefert; Phot. las, wie die Reihenfolge zeigt, Ἄκλητον wie Sui. Hes. 14 Αμὴ κάμνοντες *b* (A rot)

Ἀκόλαςτος ὄχλος· Εὐριπίδης (Hec. 607) ἔφη, ἀκόλαςτον δὲ cῶμα Σοφοκλῆς (fr. 678)· ἀκολαςτήματα δὲ λέγουςιν μὲν κατακόρως οἱ Ἐπικούρειοι, πλὴν καὶ Ἀναξανδρίδης (fr. 73) κέχρηται τῇ λέξει καὶ Ἀριςτοφάνης (Lys. 398).

Ἀκολαςία· ὁ Θουκυδίδης (III 37) ἔφη· ἀκολαςτία δὲ Ἄλεξις (fr. 345), ἀκολαςτότατον δὲ Ἀριςτοφάνης καὶ ἀκολαςτοτέραν Νικόλαος (fr. 2).

Ἀκόλαςτον καὶ ὑβριςτὸν πρᾶγμα· Ἀττικῶς ςυντέθειται, διττὴν δὲ ἔχει τὴν θεωρίαν, μίαν μὲν ὅτι ἐχρήςατο τῷ ὑβριςτὸν ἀντὶ τοῦ ὑβριςτικοῦ, ὅμοιον ὂν τῷ τύπῳ τοῖς τοιοῖςδε τῶν ὑπερθετικῶν βέλτιςτον κάλλιςτον κράτιςτον καὶ τοῖς ὁμοίοις, ἑτέραν δὲ διότι ςυμπέπλεκται τὸ ὑβριςτὸν τῷ ἀκολάςτῳ. Πλάτων δὲ ἐχρήςατο ἐν Πειςάνδρῳ (fr. 98) λέγων· 'γυνὴ γάρ, ἣν μὲν αὐτὴν ἀεὶ κολάζῃς, ἐςτὶν πάντων κτημάτων κράτιςτον· ἐὰν δὲ ἀνῇς, ὑβριςτὸν χρῆμα καὶ ἀκόλαςτον'. Φερεκράτης (fr. 162) δὲ τῷ κόβαλον ςυμπλέξας τὸ ὑβριςτὸν εἶπεν· 'ὑβριςτὸν ἔργον καὶ κόβαλον εἰργάςω'. ςυγγραφικαὶ δὲ αἱ ςυνθῆκαι.

Ἀκολαςτανεῖτε· Ἀριςτοφάνης (Aves 1227) ἔφη ὁμοίως τῷ ςημανεῖτε, Πλάτων δὲ ἐν ἕκτῳ (VIII 555d IX 590a 591a?) Πολιτείας ἀκολαςταίνειν.

Ἀκόλουθος· Δημοςθένης ἐν τῷ κατὰ Κόνωνος (4) ἀντὶ τοῦ δούλου. ὡςαύτως δὲ καὶ Ξενοφῶν (Rep. Ath. I 19).

Ἀκόλουθον· οὐδετέρως μὲν Ἀριςτοφάνης, θηλυκῶς δὲ Πλάτων ἐν τῷ περὶ Ψυχῆς (111c). Δημοςθένης δὲ ἐν τῷ πρὸς Πανταίνετον (24) ἐν ἴςῳ τῷ ἐφεξῆς εἶπε τὸ ἀκόλουθον, Ἀντιφῶν (fr. 147 Bl.) δὲ τὰ ἑπόμενα καὶ ςύμφωνα.

Ἀκολουθία· ἡ ἀκολούθηςις. Σοφοκλῆς (fr. 899).

Ἀκολουθοῦντε· ἀντὶ τοῦ ἀκολουθοῦςαι δυϊκῶς. οὕτως Ἕρμιππος (fr. 85). καὶ γὰρ κέχρηνται ταῖς ἀρςενικαῖς μετοχαῖς ἀντὶ θηλυκῶν πολλάκις.

1—4 B 367, 20 **5—7** B 367, 24 (vgl. auch Erotian 42, 11 Klein) **8—17** B 368, 12 aus Phrynichos **18—20** B 368, 26 aus Phrynichos (vgl. ςημανεῖτε Bek. 62, 29 oben S. 42, 4) **21. 22** B 367, 27 **23—26** B 367, 29 und 367, 31 **27** B 367, 32 **28—30** B 367, 33 aus Phrynichos (?)

---

2 ἀκολαςτάματα B falsch 3 ἐπικούριοι *b* ἀλεξανδρίδης *b* (?) 6 ἀκολαςτότατα δὲ Ἀριςτοτέλης B falsch 9 τῷ]τὸ *b* 12 ὑβριςτικὸν *b* B 13 κολάζεις *b* 15/16 τὸ ὑβριςτικὸν *b* 25 τὸ ἐφεξῆς *b*

Ἀκολουθεῖν μετ' αὐτοῦ· οὕτωϲ ϲυντάϲϲουϲιν οἱ Ἀττικοὶ ἀντὶ τοῦ | ἀκολουθεῖν αὐτῷ. καὶ γὰρ Λυϲίαϲ (12, 12) οὕτω κέχρηται *85v* καὶ Πλάτων (Menex. 249d), ἀλλὰ καὶ Ἀριϲτοφάνηϲ ἐν Πλούτῳ (823)· 'ἕπου' φηϲὶ 'μετ' ἐμοῦ, παιδάριον'. καὶ Μένανδροϲ (fr. 616)· 'νίκη μεθ' ἡμῶν εὐμενὴϲ ἕποιτο ἀεί' κἀν τῇ Παρακαταθήκῃ (fr. 388)· 'ϲυνακολούθει μεθ' ἡμῶν' φηϲι.

Ἀκόμπαϲτοϲ λόγοϲ· Εὐριπίδηϲ (fr. 872) φηϲί, καὶ ἀκόμπαϲτοϲ φάτιϲ (fr. 873).

Ἄκομψον· ἀπάνουργον καὶ φαῦλον. ἢ κομψείαϲ καὶ πανουργίαϲ ἀπηλλαγμένον. οὕτω Φρύνιχοϲ.

Ἀκονιτί· ἄνευ ἀγῶνοϲ καὶ μάχηϲ. ἢ ⟨εὐμαρῶϲ⟩, ἐκ μεταφορᾶϲ τῶν ἀθλητῶν τῶν εὐμαρῶϲ περιγινομένων, ὥϲτε μηδὲ κονίϲαϲθαι.

Ἀκοήν· ἀντὶ τοῦ οὖϲ. Φερεκράτηϲ (fr. 199).

Ἄκοοϲ· ἀντὶ τοῦ ἀκουϲτικόϲ. Πλάτων (fr. 226).

Ἀκοήν· τὸν λόγον, ὡϲ καὶ τὰ ἡμέτερα λόγια· 'ἀκοὴν ματαίαν μὴ παραδέχου', οἷον μάταιον λόγον μὴ προϲδέχου.

Ἄκοποϲ ἀνήρ· ἀντὶ τοῦ οὐδέπω ἠνωχλημένοϲ ὑπό τινοϲ. οὕτωϲ Ἀμειψίαϲ (fr. 29).

Ἄκοϲ· ἴαϲιϲ, θεραπεία.

Ἄκοϲμα· ἀπρεπῆ, ἄτακτα.

Ἀκόρητοϲ· ἀκόϲμητοϲ· κορεῖν γὰρ τὸ ϲαίρειν παρὰ Ἀττικοῖϲ.

Ἀκορεϲταίνω· ἀκόρεϲτα πράττω.

Ἀκοϲμήτωϲ· ἀντὶ τοῦ ἀτάκτωϲ· Πλάτων (Leg. VI 781b).

Ἀκούει καλῶϲ· ἀντὶ τοῦ εὐφημεῖται. οὕτωϲ Ἡρόδοτοϲ (III 131).

Ἄκουε· ἀντὶ τοῦ ϲίγα. Κρατῖνοϲ (fr. 284). οἷον τόπον δίδου διὰ τῆϲ ϲιγῆϲ τῇ ἀκοῇ. '⟨ἄκουε, ϲίγα⟩, πρόϲεχε, τὸν νοῦν, δεῦρ' ὅρα' καὶ Σοφοκλῆϲ (fr. 1014)· 'ἄκουε, ϲίγα, τίϲ ποτ' ἐν δόμοιϲ βοή;'

1—6 B 368, 3 aus Phrynichos (? vgl. Bek. 82, 21) **7. 8** B 369, 18 **9. 10** B 365, 22 aus Phrynichos (Bek. 6, 19 Ἄκομψον καὶ φαῦλον) vgl. B 368, 31 (ἀπάνουργον vgl. Bek. 213, 27, vgl. Sui. und Hes., wo Schmidt richtig ⟨Κρατῖνοϲ⟩ Ἀρχιλόχοιϲ vermutet) **11. 12** B 365, 25 C Sui. (vgl. Bek. 213, 24) **13** B 369, 1 **14** B 368, 33 (vgl. Et. magn. 51, 24) **17. 18** B 365, 30 Sui. **19** B 365, 32 C Sui. **20** B 365, 33 C Sui. Hes. Et. gen. fügt μωρά zu **21** B 365, 28 C **23** Vgl. unten S. 66, 12 B 369, 2 **24** B 366, 1 **25—27** Zwei Glossen B 369, 15 und 372, 10 zusammengearbeitet

---

6 ϲυνακολουθεῖ *b* 11 ergänzt aus B Sui. 14 Lies Ἀκοόϲ 14 ἀκουϲτικῶϲ B falsch 21 Ακορεῖν *b* (A rot)

Ἀκουσίμη· ἀντὶ τοῦ ἀκουστή.

Ἀκουσείων· ἀντὶ τοῦ ἀκουσόμενος. Σοφοκλῆς (fr. 900).

Ἀκουτίσαι· διδάξαι.

Ἀκοῦσαι ὀργῶ· Κρατῖνός φησιν, ἀλλὰ καὶ Θουκυδίδης (IV 108)· ʻΛακεδαιμονίων ὀργώντωνʼ. σημαίνει δὲ τὸ ὀργᾶν ⟨τὸ⟩ πάνυ ἐπαίρεσθαι πρὸς τὸ πρᾶξαί τι ἢ ἀκοῦσαι. καθόλου δὲ ποικίλως χρῶνται τῷ ὀνόματι· καὶ γὰρ ἐπὶ τοῦ βρέξαι, ὡς Ἀρχίλοχος, Αἰσχύλος δὲ ἐπὶ τοῦ παίοντα ἐξελαύνειν καὶ μαλάττειν τίθησι, Σοφοκλῆς δὲ ἐν Αἰγεῖ ⟨φησι⟩ τὸν Θησέα στρέφοντα καὶ μαλάττοντα τοὺς λύγους ποιῆσαι δεσμὰ τῷ ταύρῳ. λέγει δὲ οὕτως· ʻκλωστῆρσι χειρῶν ὀργάσας κατήνυσε σειραῖα δεσμά.ʼ καὶ Ἡρόδοτος δὲ ἐν τετάρτῳ (64) ἀντὶ τοῦ μαλάξας κέχρηται τῷ ὀργάσας. οὐκοῦν ἐπεὶ τὸ μαλάξαι καὶ βρέξαι σημαίνει ἡ φωνή, ὀργᾶν λέγεται τὸ σπαργᾶν καὶ μετεωρίζεσθαι; καὶ γὰρ τὰ βρεχόμενα ὑποιδεῖ. θεατέον δὲ καὶ οὕτω τὴν δύναμιν τῆς φωνῆς· ὀργάδες καλοῦνται πάντα τὰ ἀνειμένα εἰς ὕλην καὶ ἀνημέρωτα καὶ ἀργά, ὡς καὶ Σόλων φησίν. ἀπὸ τούτου οὖν τὸ ὀργᾶν εἴρηται ἐπὶ τοῦ ἀνεῖσθαι πρὸς τὸ πρᾶξαί τι ἢ ἀκοῦσαι. ἢ ἐπεὶ αἱ ὀργάδες ἄτμητοι οὖσαι αὔξουσιν εἰς ὕψος, διὰ τοῦτο καὶ τὸ ὀργᾶν ὑψοῦσθαι καὶ ἐπαίρεσθαι πρὸς τὸ ἀκοῦσαί τι ἢ πρᾶξαι σημαίνει. δοκεῖ δέ μοι καὶ τὸ ὀριγνᾶσθαι καὶ ἡ ὀργὴ ἐντεῦθεν γεγονέναι, οἷον ὄρεξίς τις
86r καὶ ἔφεσις καὶ αὔξησις καὶ μετεωρισ|μὸς οὖσα τῆς ψυχῆς. συγγραφικὴ μέντοι ἡ φωνὴ ἡ ἀκοῦσαι ὀργῶ.

Ἀκούειν· ἐπὶ τοῦ πείθεσθαι. Δημοσθένης (z. B. 18, 6?) καὶ Ἡρόδοτος (III 61) καὶ πρὸ αὐτῶν Ὅμηρος (η 11).

Ἀκούοντα ἄριστα· ἀντὶ τοῦ εὐφημούμενος. Ἡρόδοτος (VIII 93) καὶ Εὔπολις (fr. 3[illegible]5).

Ἀκούων διατεθρύληται· τοῦτο προστιθέντες ἐνίοτε καὶ τὰ ὦτα χρῶνται (Plat. Lys. 205 b Rep. II 358 c).

---

1 Vgl. unten S. 65, 16 = B 373, 1 aus Phrynichos **2** B 369, 13 (aus Phrynichos? vgl. unten 65, 3) **3** B 366, 3 Sui., vgl. Hes. Ἀκουστίσας **4—22** aus Phrynichos, vgl. Bek. 7, 3 u. 53, 31. Die Glosse scheint aus einem längeren Traktat über Ὀργάζω herausgelöst. **23. 24** B 369, 14 **25. 26** B 372, 6 **27. 28** aus Phrynichos (?)

---

7 Anders das bei Didymos zu Demosth. col. 14, 14 erhaltene Fragment 8 ἐναργῆ *b* (ähnlich Schol. Od. η 106 ἐναργῶς und ἐν ἄργει) 10 κλώστρεσι *b* 16 vgl. Photios Ὀργεῶνες: Seleukos im Kommentar zu den Ἄξονες erklärte dies Wort 25 Ἀκούων τὰ ἄρ. *b* 27 διατεθρύλληται *b*

Ἄκουε τὰς ἐμὰς ἐπιστολάς· ἀντὶ ⟨τοῦ⟩ τῶν ἐμῶν ἐπιστολῶν. Αἰσχύλος (fr. 293) εἶπεν.

Ἀκουσέτην Σοφοκλῆς (fr. 900). Ἀκούσεσθαι δὲ Ἀριστοφάνης.

Ἄκουσμα, οὐκ ἀκρόαμά φασί τινες λέγειν τοὺς Ἀττικούς, διαμαρτάνουσι δέ. καὶ γὰρ πλεονάζουσι μὲν ἐν ταύτῃ τῇ φωνῇ, χρῶνται δὲ ὅμως καὶ τῷ ἀκροάματι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (241)· 'βαρύτερον τῶν ἔργων, ὧν πεπόνθαμεν, τὸ ἀκρόαμα γίνεται' καὶ Ξενοφῶν δὲ χρώμενος τῷ ἀκούσματι, οὐδὲν ἧττον καὶ τῷ ἀκροάματι κέχρηται ἀλλαχοῦ τε λέγων καὶ ἐν τῷ Συμποσίῳ (2, 2) τὸν Σωκράτην εἰσάγων λέγοντα· 'νὴ Δία, ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾷς· οὐ γὰρ μόνον τὸ δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ καὶ θεάματα καὶ ἀκροάματα ἥδιστα παρέχεις.' Δίφιλος (fr. 122) δὲ ἐκ παραλλήλου τέθεικε τὰς λέξεις· 'μόνος γὰρ ἦν λέγων ἄκουσμα καὶ ἀκρόαμα'.

Ἀκούεις ἃ λέγει σε· οὕτως Φερεκράτης (fr. 73) ἔφη λέγων· 'ὦ Ζεῦ πολυτίμητε, ἆρα ἀκούεις, ἅ σε λέγει ὁ πανοῦργος υἱός;'

⟨Ἀ⟩κουσίμη· ἀντὶ τοῦ ἀκουστή. Σοφοκλῆς (fr. 679)· 'σπουδὴ γὰρ ἡ κατ' οἶκον ἐγκεκρυμμένη οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη'. δύναται λέγεσθαι καὶ φωνὴ ⟨ἀκουσίμη. καὶ Ἀκούσιμα καὶ⟩ ἀκουστά, ὡς ἐν τῇ Κρεούσῃ (fr. 330)· 'ἄπελθ', ἄπελθε παῖ· τάδ' οὐκ ἀκουστά σοι'. καὶ Εὐριπίδης (fr. 334, 4) δὲ πολλάκις. ὁ μέντοι Σοφοκλῆς ἀκούσιμα φησί. πολιτικώτερον δὲ λέγει ὁ Φρύνιχος τὸ ἀκουστά μᾶλλον ἢ τὸ ἀκούσιμα.

Ἀκούσας ἥκειν, οὐχ ἥκοντα. Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν (3, 1, 1). καὶ Μένανδρος (fr. 966) δὲ καὶ ἄλλοι πολλοί.

---

1. 2 B 372, 8 aus Phrynichos (? Vorausging wohl Kratinos Fr. 285, wie in der in B unmittelbar folgenden Glosse Ἄκουε σίγα Kratinos dem Sophokles vorausgeht) **3** B 372, 14 **4—13** B 372, 16 aus Phrynichos (vgl. φωνῇ); dagegen Thomas Mag. Moeris. Eine attizistische Einlage der Codices D C des Etymol. bietet: Ἀκούσματα· πλέον Ἀττικοὶ τῷ ἀκροάματι κέχρηνται· ⟨καὶ⟩ ἀκούειν μέν φασι, ἀκουστὴν δὲ οὐκέτι, ἀλλ' ἀκροατήν, καίτοι θεάσασθαί φασιν καὶ θεατὴν ὁμοίως. λέγουσιν Ἀκέραιον δύναμιν ἀντὶ τοῦ ἀκεραίαν, καὶ βέβαιον κόλασιν καὶ φαῦλον πρᾶξιν, καὶ ἄλλα θηλυκὰ ὀνόματα διὰ τοῦ ᾱ κοινῶς προφερόμενα Ἀττικοὶ διὰ τοῦ ο̄ς λέγουσιν. Ἀκαιρία καὶ ἀκαίρως Δημοσθένης· 'τὴν ἀκαιρίαν τὴν ἐκείνου' (1, 24 u. prooem. 38). Ἀκούσας ἥκειν τόνδε, οὐχ ἥκοντα· οὐδετέρως (οὐδὲ ἑτέρως?) μετὰ τοῦ ῥήματος. Das scheint nach Anfang und Schluß Exzerpt aus Phrynichos, vgl. unten Z. 23 **14. 15** B 372, 31 aus Phrynichos **16—22** B 373, 1 aus Phrynichos **23. 24** B 373, 10 aus Phrynichos

---

3 Lies ἀκούσεσθε 15 σε fehlt B 17 πρὸς θυραῖον B πρὸς θυραιον *b* 19 σοι fehlt B 20 ⟨καὶ⟩ ἀκούσιμα Ellendt richtig (wohl auf fr. 679)

⟨Ἀ⟩κούμενος· θεραπευόμενος ἢ θεραπεύων.

Ἀκουσία· τὸ πρᾶγμα. Σοφοκλῆς (fr. 680)· 'ἐξαίρετον τίθημι τὴν ἀκουσίαν'.

Ἀκοινώνητος· Πλάτων ἐν Νόμων ς′ (768b), καὶ Ἀκοινώνητα. καὶ Ἀντιφῶν δὲ καὶ Εὐριπίδης (Andr. 470). καὶ ⟨Ἀ⟩κοινωνία Πλάτων ἐν ταῖς πρὸς τὸν Διονύσιον ἐπιστολαῖς (III 318e).

⟨Ἀ⟩κοίτιδος· Εὐριπίδης.

Ἀκονῶ· Δημοσθένης ἐν Ἐπιστολαῖς (II 11)· 'ἀκονῶν τὴν πόλιν'.

Ἀκόρεστα· Εὐριπίδης (Med. 638), ἀκορεστότερα δὲ Ξενοφῶν (Symp. 8, 15).

Ἀκοσμοῦντες· Σοφοκλῆς (Phil. 387. vgl. Ant. 730). ἀκοσμεῖ δὲ καὶ ἀκόσμους, καὶ ἀκοσμήτως ἀντὶ τοῦ ἀτάκτως Πλάτων ἐν Νόμων ς′ (781b)· 'τὸ περὶ τὰς γυναῖκας ἀκοσμήτως περιορώμενον'.

Ἀκοσμεῖν· τὸ μηδὲν ἐν κόσμῳ καὶ τάξει ποιεῖν, ἀλλ' ἀκολασταίνειν. Σοφοκλῆς.

Ἀκοσμία· Εὐριπίδης (Iph. A. 317)· 'τίς ποτ' ἐν θύραισι θόρυβος καὶ λόγων ἀκοσμία'.

⟨Ἄ⟩κος περίαπτον· Ἀττικῶς εἴρηται. κέχρηται τῇ συνθήκῃ Κρατῖνος.

Ἀκραγγές· ἀκρόχολον, ἀσθενές, χαλεπόν.

Ἀκράδαντον· ἀσάλευτον, ἀκίνητον.

Ἀκραιφνές· καθαρόν, ὑψηλόν, τέλειον. ἢ ἀκραιφνοῦς οἷον
86r ἀκηραφανοῦς ἀβλαβοῦς· | κὴρ γὰρ ὁ θάνατος.

Ἄκρα κόρυμβα· τὰ ἀκροστόλια τῶν νεῶν τὰ ἐξέχοντα κατὰ πρύμναν ἢ πρῷραν.

Ἀκρέμονες· βλαστοί, κλάδοι.

Ἀκρασίας· ἀνωμαλίας, παρὰ τὸ μὴ συγκεκρᾶσθαι.

Ἀκράτισμα· ἔμβρωμα.

---

1 B 373, 12 **2. 3** B 373, 13 **8. 9** B 369, 11 **10. 11** B 369, 20 **12—14** Vgl. B 369, 2 oben S. 63, 23 **15. 16** B 369, 5 aus Phrynichos (Bek. 18, 22) **17. 18** B 369, 10 aus Phrynichos (? Fortsetzung der vorigen Glosse) **19. 20** B 369, 10 aus Phrynichos (Bek. 16, 29) **21** B 369, 17 Hes. Et. gen. (codd. CD u. Et. magn.) **22** B 366, 4 C Sui., vgl. Hes. **23. 24** Zwei Glossen: 1) bis τέλειον B 366, 8 Sui. (C weniger) 2) B 366, 10 Sui. **25. 26** B 366, 6 Sui. **27** B 366, 5 C Sui. Hes. **28** B 366, 12 C Sui. Hes. **29** B 366, 13 A Sui.

---

16 ὁ vor Σοφοκλῆς rot *b* 17 θύρεσι *b* πύλαισι cod. Eur. 19 περιαπτόν *b* 21 ἀκρόχωλον *b* 23 Ἀκραιφνές (αι aus ε) *b* 24 Ακὴρ *b* (A rot)

'Ακρατῆς γάμων· σεμνὸς καὶ εὐπρεπὴς ὁ λόγος ἐπὶ γυναικὸς τιθέμενος ἀκολάστου καὶ μοιχικῆς. οὕτως Φρύνιχος.

'Ακρατὴς χειρός· ὁ κλέπτης. ὅμοιον τῷ πρώτῳ.

'Ακρατῆ γίνεσθαι τοῦδε· οἷον μὴ κατακρατεῖν διὰ τὸ πλῆθος τῶν ἐπιρρεόντων πραγμάτων ἢ λόγων.

Ἄκρατος· κατὰ τὸ ἐναντίον τὸ πολύκρατος.

'Ακρατίσασθαι· τὸ μικρὸν ἐμφαγεῖν πρὸ τοῦ ἀρίστου.

⟨'Α⟩κριβοῦν· ἐγνωκέναι τὸ ἀκριβές.

'Ακριτί· ἄνευ κρίσεως.

Ἄκριτος· ἀντὶ τοῦ ἀδιάκριτος. οὕτως Δημοσθένης (z.B. 1[illegible],18).

Ἄκριτα· ἀχώριστα.

'Ακριτόμυθος· πολύλογος, ἀδιακρίτους ἔχων τοὺς λόγους.

'Ακριτόφυλλον· σύμφυτον πολλοῖς δένδροις, ὥστε μὴ διακρῖναι αὐτῶν τὰ φύλλα, ἃ φέρει. ἢ κατάσκιον.

'Ακροᾶσθαι· ἀντὶ τοῦ ὑπακούειν, οὕτως 'Αντιφῶν (fr. 62 Bl.)

'Ακροβολίζεται· τὸ ἐν πολέμῳ προκατάρχεσθαι τῆς συμβολῆς. ἢ τὸ ἄκραις συμπλέκεσθαι χερσίν· ἢ καὶ τὸ διὰ βελῶν μάχεσθαι, καὶ τὸ ἐπιδείκνυσθαι τὸν πόλεμον.

'Ακροβελίδας· τὰ ἄκρα τῶν ὀβελίσκων. Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι (fr. 10)· 'τὸ πῦρ πολὺ λίαν· ὕπαγε τὰς ἀκροβελίδας'.

'Ακροβολίζεται· τὰ ἄκρα τοῦ σώματος . . . . .

'Ακροβόλοι· ἀκοντισταί, τοξόται.

'Ακροβολισμός· ἐρεθισμός.

'Ακρόδρυα· καρποὶ δενδρικοί.

---

1. 2 B 369, 22 aus Phrynichos (Bek. 28, 24 danach zu korrigieren) 3 B 369, 25 aus Phrynichos (Bek. 28, 31, danach zu korrigieren, vgl. den Komikervers Plutarch Aristid. 4, Wilamowitz Hermes 14, 183) 4. 5 B 369, 27 aus Phrynichos (?) 6 B 371, 25 7 B 371, 26 aus Phrynichos (Bek. 23, 15) 8 B 366, 14, vgl. Sui. 9 B 366, 15 Sui. 10 B 366, 16 Sui. aus Harp. (vgl. An. Ox. II 488, 30) 11 B 366, 17 A Sui. 12 B 366, 18 A Sui. 13. 14 B 366, 20 A Sui., vgl. Hes. 15 Sui. B 366, 28 (aus Platoglosse interpoliert, vgl. Hes.) aus Harp. (vgl. An. Ox. II 489, 1) 16—18 B 366, 22, vgl. Hes. 19. 20 B 371, 28, vgl. Hes. (Et. magn. 53, 40) 21 A Sui. 22 B 366, 26 A Sui. Hes. 23 B 366, 25 A Sui. 24 B 366, 27 A Sui. (vgl. Schol. Plat. Crit. 115b)

---

6 τὸ] τῷ Bekker, falsch; ἄκρατος ist erklärt wie ἄξυλος. 7 'Ακρατήσασθαι *b* 11 ἀδιαχώριστα B 16 Lies 'Ακροβολίζεσθαι 17 ἄκροις *b* 19. 20 'Ακρωβελίδας *b* 21 Das Verbum fehlt auch A 22 'Ακρόβολοι *b* B 24 Ακαρποὶ (A rot) *b*

'Ακροδίκαιος· ὁ εἰς ἄκρον δίκαιος.

'Ακροθίνια· τὰς τῶν ἐνιαυσιαίων καρπῶν ἀπαρχάς. κυρίως δέ, ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας, παρὰ τὸ ἀπὸ τοῦ θινός, τουτέστιν τοῦ αἰγιαλοῦ, σεσῶσθαι αὐτά. ἄλλοι δὲ τὰ ἀπὸ τῶν πολέμων, παρὰ τὸ σίνεσθαι ἐν τῷ πολέμῳ πολλούς, τουτέστι βλάπτεσθαι. ἢ τὰ ἄκρα τῶν σωρῶν.

'Ακροκώλια δίεφθα. Τηλεκλείδης (fr. 48).

'Ακρόκομοι· μετρίως κομῶντες, ἢ λίαν, ἢ τὰ ἄκρα τῆς κεφαλῆς κομῶντες.

'Ακρώνια· τὰ ἀθροίσματα. καὶ ἡ ἀκρότης. καὶ ἡ ἀκμή. καὶ τὸ ἐπίλεκτον σύστημα.

'Ακρομανής· ὁ φρενήρης.

⟨'Α⟩κρόνυξ· οἷον ἀρχὴ νυκτός. Σοφοκλῆς (Ai. 285).

'Ακροπόλισιν· ἀκρωρείαις.

Ἄκρον φρονεῖν, ἄκρον δρᾶν· οἷον ἐξέχων ἐν τῷ φρονεῖν καὶ πράττειν. οὕτως Σοφοκλῆς (nicht auf El. 1499).

'Ακροσφαλεῖς· ἀκροσφαλισμένους.

'Ακρότομος· σκληρός, ὑψηλός.

⟨'Α⟩κροσφαλές· τὸ ἄκρως σφαλερὸν καὶ μὴ δυνάμενον παγίως ἐν ἀσφαλείᾳ εἶναι. οὕτως Φρύνιχος.

87r 'Ακρώρεια· | ἐξοχή, κορυφή. εἰς τρία γὰρ διῃρεῖτο τὸ ὄρος, εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν, εἰς τέρμα. ἀκρώρεια μέν ἐστιν ἡ κορυφή, ὑπώρεια δὲ τὰ πλευρὰ τοῦ ὄρους, τέρμα δὲ τὰ τελευταῖα.

'Ακροτελεύτιον ἔπους· τὸ ἔσχατον κεφαλαίου τινὸς ποιητικοῦ. κυρίως γὰρ ἐπὶ ποιημάτων τιθέασιν 'Αττικοὶ ἀκροτελεύτια. οὕτως Φρύνιχος.

'Ακροφύσιον· τὸ τῇ χώνῃ προστιθέμενον. Σοφοκλῆς (fr. 901).

2—6 A Sui. B 366, 30 (erweitert aus Theognost) **7** B 371, 32, vgl. Sui. **8. 9** B 367, 9 A Sui., vgl. Hes. **10. 11** B 372, 2, vgl. Hes. **12** B 372, 4 **13** B 372, 1 Sui. **14** B 369, 29 A Sui. **15. 16** B 372, 5 **17** B 367, 17 A Sui. (Schol. Plat. Pol. 403 c) **18** B 369, 30 A Sui. **19. 20** B 367, 18 aus Phrynichos (Bek. 20, 4) **21—23** B 370, 1 A Sui. **24—26** B 369, 31 Sui. aus Phrynichos **27** B 373, 15

---

2 ἀπαρχάς, ἀκροθίνια δὲ κυρίως καλοῦσι (καλεῖσθαί φασι) τὰς ἀπαρχὰς ἃς A Sui. B 10 'Ακρωνία B vgl. M. Schmidt zu Hes. 14 Lies 'Ακροπόλοισιν (E 523) 14 ἀκρωρίαις *b* verb. *b*[1] 15 Lies Ἄκρος oder ἐξέχοντα 17 Lies ἄκρως ἐσφαλμένους 19 Ακαὶ *b* (A rot) 20 ἀσφαλῆ zu ἀσφαλεία corr. cod. Phryn. ἀσφαλεῖ Bekker 25 Lies ἀκροτελεύτιον

Ἀκροχειρίζεσθαι· πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς. ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ' ἄλλου γυμνάζεσθαι.

Ἀκροχόρδων· ἐξοχή τις περὶ τὴν ἕδραν καὶ περὶ ἄλλα μέρη τοῦ σώματος.

Ἀκταινῶσαι· ἀντὶ τοῦ ὑψῶσαι καὶ ἐξᾶραι καὶ μετεωρίσαι. πεποίηται δὲ οὕτως· ἔστι δένδρον, ὃ καλεῖται ἀκτή, ἀφ' οὗ τὰ ἀκόντια τέμνεται. οὕτως **Ἀνακρέων** (fr. 137 B[4]).

Ἀκταίνειν· γαυριᾶν καὶ ἀτάκτως πηδᾶν. ἢ πρὸς συνουσίαν ὁρμᾶν.

Ἀκτή· αἰγιαλός, παραθαλάσσιος ⟨τόπος⟩. ἰδίως ἐπιθαλαττίδιός τις μοῖρα τῆς Ἀττικῆς. ὅθεν καὶ ὁ ἀκτίτης λίθος. ἐκάλουν δὲ οὕτως καὶ τὴν Ἀττικήν, οἱ μέν ἀπό τινος Ἀκταίωνος βασιλέως, οἱ δέ διὰ τὸ τὴν πλείω τῆς χώρας ἐπιθαλάττιον εἶναι.

Ἄκτια· ἀγὼν παλαιός, ὡς **Καλλίμαχος** ἐν τῷ περὶ τῶν ἀγώνων (fr. 1) δῆλον ποιεῖ.

Ἀκύκλιος· ὁ ἀπαίδευτος παρὰ **Πλάτωνι** (fr. 227).

Ἄκυλος· ὁ τῆς πρίνου καρπὸς ὑπὸ τῶν παλαιῶν, βάλανος δὲ ὁ τῆς δρυός· 'καὶ τὰς βαλάνους καὶ τὰς ἀκύλους καὶ τὰς ἀχράδας περιόντας'. **Φερεκράτης** Ἀγρίοις (fr. 186).

Ἀκύμονα· ἀτάραχον, ἀσάλευτον.

Ἀκύμων· ⟨ἡ⟩ μὴ γεννῶσα, ὡς ἐγκύμων ἡ συνειληφυῖα. καὶ ⟨**ἀκύμων**⟩ **θάλασσα** ἡ μὴ ἀνέμοις ταρασσομένη καὶ κυμαινομένη.

Ἀκώπητον· ἀπαράσκευον. μετῆκται δὲ ἀπὸ τῶν νεῶν τῶν μὴ ἐχουσῶν κώπας μηδὲ τὰ πρὸς τὸν πλοῦν εὐτρεπισμένα.

Ἀκωδώνιστον· ἀβασάνιστον· ἢ ἀδοκίμαστον. οὕτως **Ἀριστοφάνης** (Lys. 485).

Ἅλα· θάλασσαν. ἢ τὰς τῶν ὀνύχων ὀξύτητας.

---

1. 2 B 370, 5 Sui. aus Timaios (Schol. Plat. Alc. 107 e) **3. 4** B 373, 16, vgl. Hes. **5—7** B 373, 18 aus Phrynichos (Bek. 23, 7) **8** B 370, 12 Sui. Zwei Teile: 1) bis πηδᾶν aus Timaios (vgl. Schol. Plat. Leg. 672 c) **9—12** Zwei Teile: 1) bis παραθαλάσσιος (τόπος) A Sui., vgl. Hes.; 2) B 370, 8 Sui. aus Harp. **13. 14** B 373, 30 Sui. aus Harp. **15** B 373, 21 Hes. (Et. magn. 55, 4) **16—18** B 373, 25, vgl. Sui. Hes. aus Phrynichos (Bek. 22, 6) **19** B 365, 18, vgl. Sui. Hes. **20. 21** Zwei Teile: bis συνειληφυῖα A Sui., vgl. Hes.; 2) aus Phrynichos (Bek. 6, 1). Beide vereinigt B 373, 22 **22. 23** B 373, 32 Hes. (vgl. Et. magn. 55, 6) **24. 25** B 374, 1 Sui. Hes. (beide mehr) aus Phrynichos (Bek. 29, 1) **26** Zwei Teile: 1) bis θάλασσαν A Sui. Hes. Beide vereinigt B 374, 5

---

2 ἄκρως *b* 3 Ἀκροχόρδων so *b* B Hes. 8 γαβριᾶν *b* (?) 23 εὐτρεπισμένων E. Schwartz 26 θάλα *b*



'Αλαβαστοθήκας· ⟨τὰς θήκας τῶν ἀλαβάστων⟩ Δημοσθένης (19, 237) ⟨λέγει⟩, ἃς ἐν τῇ συνηθείᾳ μυροθήκας καλοῦςιν. ἀλάβαστοι δέ εἰςι λήκυθοι, ὧν οὐκ ἔςτι λαβέςθαι διὰ λειότητα. ⟨'Αλάβαςτος⟩· οὕτως Μένανδρος ἄνευ τοῦ ρ̄ 'Οργῇ (fr. 990)· 'καὶ Λαμπρίας ὄπιςθεν ἀλάβαςτον φέρων'. ςημαίνει δὲ μυροθήκην. ἔνιοι δὲ αὐτὴν προάγουςι ςὺν τῷ ρ̄.

'Αλαζών· ὑπερήφανος. κυρίως δὲ ὁ ἀπατεὼν καὶ κομπ⟨ηρ⟩ός· ψεύςτης καὶ κομπαςτής. οὕτως Κρατῖνος (fr. 380).

'Αλαζονεύεςθαι· τὸ ψεύδεςθαι λέγουςι, καὶ ἀλαζόνα τὸν ψεύςτην καὶ φένακα.

'Αλαλαγμός· ἐπινίκιος ὕμνος.

⟨Ἁ⟩λαιεύς· ὄνομα δήμου.

'Αλαλητόν· θόρυβον.

88r 'Αλαπάξαι· πορθῆςαι, κε|νῶςαι, ὁμαλίςαι.

'Αλάςτωρ· ὁ ἁμαρτωλός, κατὰ μὲν Χρύςιππον (fr. 158 Arn.) τὸν

1—6 Zwei Glossen: 1) bis λειότητα B 375, 12 Sui. (vgl. Hes. Et. magn. 55, 34) aus Harp.; 2) aus Aelius Dion. Eust. 1161, 30 (Schwabe p. 98); aus anderer Quelle B 374, 6 (Teil I = A) **7. 8** B 374, 18, vgl. A Sui. **9. 10** B 381, 20 **11** B 374, 9 A Sui. Hes. **12** B 375, 18 Sui. aus Harp. **13** B 374, 10 A Sui. **14** A B 374, 12 (mehr) Sui. (mehr) Hes. **15—p. 71 19** Vgl. Et. gen. (cod. B u. Et. magn.) 'Αλάςτωρ· ὁ ἁμαρτωλός. ἢ ὁ φονεύς, ἢ ὁ ἐφορῶν τοὺς φόνους Ζεύς. κατὰ μὲν Χρύςιππον τὸν φιλόςοφον ἐπὶ τοῦ ἁμαρτωλοῦ καὶ φονέως ⟨ἀπὸ τῆς ἐλάςεως⟩, ὁ ἄξιος τοῦ ἐλαύνεςθαι διὰ φόνον. [ἢ ἀπὸ τοῦ ἀλᾶςθαι τοῦ πλανᾶςθαι ἢ ὁ ἄλαςτα δρῶν]. κατὰ δὲ 'Απολλόδωρον ἀπὸ τοῦ ἀλιτεῖν, ὅ ἐςτιν ἀλιτανεύτως ἀδικεῖν. μήποτε δέ ἐςτιν ὁ διὰ μέγεθος τῶν πεπραγμένων αὐτῷ λιτῆς μὴ καταξιούμενος, ἢ ὁ τοιαῦτα τολμήςας πράττειν, ὧν μὴ ἔςτιν ἐπιλαθέςθαι; ἐπὶ δὲ τοῦ Διός, οἷον 'ἀλάςτωρ Ζεύς', ἀπὸ ⟨τοῦ⟩ τοῖς ⟨ἄλας⟩τα πάςχουςιν ἐπαμύνειν. [ἢ ὁ τὰ ἄλαςτα τηρῶν τουτέςτι τὰ χαλεπά]. Μένανδρος· 'ὁ δ' ἀλάςτωρ ἐγὼ καὶ Ζηλότυπος ἄνθρωπος'. ⟨οὕτως εὗρον εἰς τὸ λεξικὸν τὸ ῥητορικόν, ςυμφωνεῖ δὲ αὐτῷ καὶ Μεθόδιος εἴς τινα.⟩ (Nur die steil eingeklammerten Sätze könnten aus Methodios stammen). Photios Amphil. vgl. Hermes 26, 256: καὶ ἀλάςτωρ δὲ ςημαίνει μὲν ἁπλῶς τὸν κακοῦργον, ςημαίνει δὲ καὶ τὸν αὐτοχειρίᾳ φόνον εἰργαςμένον, ἀλλά γε δὴ καὶ τὸν ἐπεξιόντα τούτους ὡς τὰ ἄλαςτα ἐπιςκοποῦντα καὶ τοὺς εἰργαςμένους εἰςπράττοντα δίκας. ἔνθεν παρ' αὐτοῖς καὶ ὁ Ζεὺς ἀλάςτωρ. Vergleiche hiermit Eust. 474, 22: παρὰ δὲ τοῖς ὕςτερον καὶ 'Ζεὺς ἀλάςτωρ', ὃν ἔλαθεν οὐδέν, ἢ ὁ τοῖς ἄλαςτα πάςχουςιν ἐπαμύνων κατὰ τοὺς παλαιούς. κοινῶς μέντοι ἀλάςτωρ, φαςίν, ὁ ἁμαρτωλός, ἢ κατὰ Χρύςιππον ὁ φονεύς, διὰ τὸ ἄξιος εἶναι ἀλᾶςθαι,

1 Ergänzt aus B Sui. Harp. 3 λίκυθοι *b* 4 'Οργῇ] ῥήγη *b* 5 μυρο^{θ} *b* 7 ἀπαταιών *b* κόμπος *b* 14 Blatt 87^{v} ließ der Schreiber frei, weil die Tinte durchgeschlagen war

φιλόσοφον ἀπὸ τῆς ἐλάσεως, ὁ ἄξιος ἐλαύνεσθαι διὰ φόνον, κατὰ δὲ Ἀπολλόδωρον (fr. 211) ἀπὸ τοῦ ἀλιτεῖν, τοῦτο δέ ἐστιν ἀλιτανεύτως ἀδικεῖν, κατὰ δὲ Δίδυμον ἀπὸ τοῦ τοῖς ἄλαστα πάσχουσιν ἐπαμύνειν. μήποτε δέ ἐστιν ὁ διὰ μέγεθος τῶν πεπραγμένων αὐτῷ κακῶν λιτῆς μὴ καταξιούμενος; ἢ ὁ ἀλιτὼν εἴς τινα, ὅπερ ἐστὶ τοιοῦτόν τι διαπραξάμενος, ὃ μὴ λιταῖς ἀναλύσῃ. μήποτε δὲ ὁ αὐτός ἐστι τῷ ἀλιτηρίῳ καὶ ἀλιτρῷ; Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας (305)· 'βάρβαρον πολλάκις καὶ ἀλάστορα τὸν Φίλιππον δημηγορῶν ἀπεκάλει'. λέγουσι δὲ καὶ τὸν Δία, ὡς οὐδὲν αὐτὸν τῶν τολμωμένων παρὰ ἀνθρώποις λαθεῖν δυνάμενον. Νικοχάρης (fr. 18 K.) δὲ καὶ θηλυκῶς ἔφη 'τὴν ἀλάστορα σφίγγα'. καὶ δαίμων τις καλεῖται ἐπεξιὼν τοὺς ἄλαστα εἰργασμένους, καὶ αὐτὸς ὁ πράξας τι τοιοῦτον, μάλιστα δὲ φόνον αὐτοχειρίᾳ. Περικειρομένῃ Μένανδρος (fr. 862 Grenfell-Hunt Oxyrh. pap. II N. 211, 12)· 'ὁ δ' ἀλάστωρ ἐγὼ καὶ Ζηλότυπος ἄνθρωπος'. ⟨καὶ⟩ ἐν Ὀργῇ· 'ἐμφαίνεται, ὅτι πρόσφατος ἦν ἐπιχωρία. — καὶ τοὔνομα τί λέγεις; — Ἀλάστωρ, φησί'. τοῦτο δὴ τοίνυν καινὸν λεγόμενον, εἰ μὴ πρὸς τραγῳδοποιούς τινας λέγεται κατακόρως χρωμένους τῷ ὀνόματι. ὁ δὲ Αἰσχύλος (fr. 294) 'μέγαν ἀλάστορον' εἶπεν, ἀντὶ τοῦ ἀλάστορα, ἀπὸ εὐθείας τῆς ἀλάστορος.

ἢ ἀπελαύνεσθαι. βαρύτερον (?) δὲ ἡ λέξις καὶ ἐπί τινων δαιμόνων κεῖται. δαίμονες γὰρ ἀλάστορες οἱ κακύνοντες (aus derselben Quelle hat Eust. 1415, 13 ff. eine Glosse Ἐπαλαστεῖν interpoliert, vgl.: φθονερὸν δαιμόνιον. καὶ 'Ζεὺς ἀλάστωρ', οὗ ἡ βλάβη ἄληστος, ἢ ὃν οὐκ ἔστι λαθεῖν, ἢ ὁ ἐπαμύνων τοῖς ἄλαστα παθοῦσι. λέγεται δέ, φασίν, ἀλάστωρ καὶ ὁ τιμωρός καὶ ὁ φυγῆς ἄξια εἰργασμένος). Die in B 374, 22 stark verkürzte Hauptglosse, welche aus Aelius Dion. oder Pausanias stammt, ist von Photios aus B 382, 26 und B 382, 29 interpoliert. Im Anfang erweist sich Photios besser als B und das ῥητορικόν, indem er das Sätzchen B 374, 28—29 ἢ bis ἐπιλαθέσθαι, welches aus der Harpokration-Epitome stammt, als selbständige Glosse (verbunden mit einer bei Suidas erhaltenen) bietet, (unten S. 72, 4). Dagegen haben B und Photios fälschlich κατὰ δὲ Δίδυμον (δι^δ) für ἐπὶ δὲ τοῦ Διός (δι^ο) gelesen und daher diesen im ῥητορικόν richtig gestellten Satz verschoben und ἐπὶ τοῦ ἁμαρτωλοῦ καὶ φονέως gestrichen. Das ῥητορικόν des Etymol. genuin. ist also nicht das Werk des Photios, wie Wentzel und ich früher annahmen, sondern gehört einer selbst B vorausliegenden Entwicklungsstufe (vgl. Meier bei Gaisford Et. magn. praef. XIX). Didymos *sed. dub. fr.* 1 (p. 401 Schmidt) ist zu streichen.

---

8 ἀπεκᾶ *b* 10 νικόχαρις *b* 13 περικειομένη *b* 15 προσφάτως und ἐπὶ χωρία *b* vielleicht ἐπιχώριος Interpunktion von E. Schwartz 17 λε *b*

Ἀλάcτορα προcβαλεῖν· οἷον μύcοc καὶ ἀνοcιουργίαν. Εὐριπίδηc (fr. 874)· ʻοὐ coὶ παραινῶ μηχανωμένῃ κακὰ ἐχθροῖcι, cαυτὴν προcβαλεῖν ἀλάcτορα.ʼ

Ἀλάcτωρ· ὁ τοιαῦτα τολμήcαc, ὧν μὴ ἔcτιν ἐπιλαθέcθαι. ἢ φονικὸc δαίμων τιμωρῶν καὶ ἀνεπίληcτα ποιῶν. ἢ ὁ πάντα ποιῶν τὰ κακά.

Ἀλᾶται· πλανᾶται, ῥέμβεται.

Ἄλγεα· κακά, λυπηρά.

Ἀλδαίνων· αὐξόμενοc.

Ἀλέα· θέρμη, ἔλλαμψιc. καὶ πόλιc Θεccαλική. οἱ δὲ πολῖται Ἀλεῖc.

⟨Ἀ⟩λεεινόc· θερινόc, θερμόc.

Ἁλεῖται· πηδήcει.

Ἀλείτηc· ἁμαρτωλόc. πλανήτηc.

Ἀλείφατι· ἐλαίῳ, ἢ ἑτέρῳ ἀλείμματι.

Ἀλειφοίβιον· τὸν περὶ παλαίcτραν ἀναcτρεφόμενον καὶ ὑπηρετοῦντα. Ἀριcτοφάνηc (fr. 740).

Ἀλείψαc· διεγείραc, ἀπὸ μεταφορᾶc τῶν ἀθλητῶν.

Ἀλέξανδροc· ὄνομα, οὗ μνημονεύει Δημοcθένηc ἐν ἕκτῳ Φιλιππικῶν (6, 11), ὁ καλούμενοc Φιλέλλην, υἱὸc μὲν Ἀμύντου τοῦ βαcιλέωc, πατὴρ δὲ Περδίκκα. ἕτεροc δέ ἐcτιν ὁ ἀδελφὸc Φιλίππου, οὗ ὁ αὐτὸc ἐν τῷ ⟨περὶ⟩ παραπρεcβείαc (195) μνημονεύει. ἄλλοc δέ ἐcτιν ὁ Θετταλόc, περὶ οὗ ἐν τῷ κατὰ Ἀριcτοκράτουc (23, 120) λέγει.
88v ἄλλοc | δέ ἐcτιν ὁ Μολοττόc, ἀδελφὸc Ὀλυμπιάδοc τῆc γυναικὸc Φιλίππου· μνημονεύει δὲ καὶ τούτου ἐν ἑβδόμῳ Φιλιππικῶν (7, 32), καὶ γνήcιοc ὁ λόγοc.

Ἅλαc ἄγων καθεύδειc· ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥᾳcτωνευομένων. ἐμπόρου γάρ τινοc τὴν ναῦν ἁλῶν πληρώcαντοc καὶ καθεύδοντοc τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺc ἅλαc. ἔνθεν ἡ παροιμία.

1—3 B 382, 31 **4—6** Drei Glossen: 1) bis ἐπιλαθέcθαι aus Harp.; 2) bis ἀνεπίληcτα ποιῶν Sui. **7** B 374, 33 A Sui., vgl. Hes. **8** B 375, 1 A Sui. **9** B 382, 16 **10** Zwei Glossen: 1) bis ἔλλαμψιc B 375, 2 A Sui.; 2) aus Harp. **11** B 375, 4 A Sui. **12** B 375, 5 A Sui. Hes. **13** B 375, 6, vgl. Sui. Zwei Glossen in A und Hes. Ἀλείτηc und Ἀλήτηc. **14** B 375, 7 A Sui. Hes. **15. 16** B 382, 17 **17** B 375, 8 A Sui. **18—25** B 375, 19 aus Harp. **26—29** Sui. (mehr)

---

2 Lies cαυτῇ 5 ἀνέλπιcτα *b* 7 Απλανᾶται *b* (A rot) 15 Lies Ἀλειφόβιον 20 περδίκα *b* 25 καὶ auch Harp. E (lies εἰ) 26 καθεύδηc *b* verb. *b*[1]

'Αλέξειν· ἀποτρέπειν.

'Αλεξίκακον· κακίας καθαρτικὸν καὶ θεραπευτικόν.

'Αλεξίλογα· οὕτω τὰ γράμματα κέκληκε Κριτίας ὁ τύραννος (fr. 1, 9 B[4]).

'Αλέξιμα· τὰ βοηθήματα.

'Αλεξητῆρα· βοηθόν.

'Αλεξήσοντα· βοηθήσοντα.

'Αλεξιφάρμακον· ἀντιφάρμακον.

'Αλεξιφάρμακα· ἀλεξιτήρια φαρμάκων. Μένανδρος Παιδίῳ (fr. 371)· ''Εφέσια τοῖς γαμοῦσιν οὗτος περιπατεῖ λέγων ἀλεξιφάρμακα'.

'Αλε⟨αίν⟩οιμι· θερμαινοίμην. 'Αριστοφάνης (Eccl. 540).

'Αλετρίβανον· ὁ αὐτός (Pax 265).

'Αλεσούριον· θαλάσσιον αἰδοῖον. καὶ γένος κογχυλίων.

'Αλευάδαι· οἱ ἐν Λαρίσσῃ τῆς Θετταλίας εὐγενέστατοι, ἀπὸ ⟨'Α⟩λεύου βασιλέως τὸ γένος ἔχοντες.

'Αλευρόμαντις· ὁ 'Απόλλων διὰ τὸ καὶ ἀλεύροις μαντεύεσθαι.

'Αλευρόττησις· ᾧ τὰ ἄλευρα διαττῶσιν, οἳ δὲ τηλίαν αὐτὸ καλοῦσιν, ἔνιοι δὲ καὶ σηλίαν. ὃ καὶ κόσκινον.

'Αλευραττίς· ἀγγεῖον εἰς ἄλφιτα.

⟨'Α⟩λεύσω· φυλάξω.

'Αληθῆ καὶ τὰς ἀληθείας πληθυντικῶς λέγει Μένανδρος 'Αφροδισίῳ (fr. 87)· 'εἰ τὰς ἀληθείας, ἃς ἁπλῶς τίς σοι λέγει.'

Ἆληθες· ὅταν ἡ πρώτη ὀξύνηται, σημαίνει τι ἐν ἐπερωτήσει λεγόμενον, οἷον ὄντως, ἀληθῶς.

'Αληθέστερα τῶν ἐπὶ Σάγρᾳ· ἐπὶ τῶν ἀληθεστάτων μέν, οὐ πιστευομένων δέ. Σάγρα ποταμὸς τῆς Λοκρίδος. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν 'Ανατιθεμένῃ (fr. 34). Λοκροὺς δέ φασι τοὺς 'Επιζεφυρίους πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας

---

1 B 375, 9 A Sui. **2** B 375, 12 A Sui. **3. 4** B 382, 19 **6** B 375, 10 A Sui. **7** B 375, 11 A Sui. **8** B 375, 31 Sui. **9. 10** B 375, 31 Sui. **11** B 376, 1 Sui. aus Phrynichos (Bek. 14, 24: ἀλέαι ἀλεαίνοιμι, so cod.) **12** B 379, 24, vgl. Bek. 79, 14 **13** B 382, 21 Hes. **14. 15** B 375, 29 Sui. aus Timaios (vgl. Schol. Plat. Menon 70 c) **16** B 382, 22 Hes. **17. 18** B 382, 24 (vgl. Hes.) **19** B 383, 3 **20** B 383, 4 (Soph. fr. 902) **21. 22** B 376, 4 Sui. **23. 24** Vgl. B 376, 7 u. Sui. **25**—p 74, 7 Sui. Teil I, aus Pausanias (vgl. Eust. 278, 5 Schwabe p. 99)

---

6 'Αλεξιτῆρα *b* 10 οὕτως *b* 11 'Αλέοιμι auch B θερμαίνοιμι *b* B 14 'Αλευάβδαι *b* 15 ἀπὸ λεύου *b* 19 'Αλεύραττις B 20 ἅς auch B Sui., zu tilgen

αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους. τῶν δὲ στρατὸν μὲν οὐκ ἔχειν φησάντων, διδόναι δ' αὐτοῖς τοὺς Διοσκούρους τοὺς ⟦δὲ⟧ Λοκροὺς οἰωνισαμένους τὸ κερτομηθὲν τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκούρων συμπλεῖν αὐτοῖς. νικησάντων δὲ αὐθημερὸν καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην τὸ μὲν πρῶτον ἀπιστηθῆναι, ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγεσθαι τοῖς ἀληθεστάτοις μέν, οὐ πιστευομένοις δέ.

Ἀλληλίζειν· ἀλλήλους πειρᾶν, ὅ ἐστι λόγους περὶ συνουσίας προσφέρειν.

Ἀληθέγγυος ὅμηρος· ὁ τὴν ἀλήθειαν ἐγγυώμενος.

Ἀληλιμμένον· τὰ τοιαῦτα Ἀττικοὶ ἀναδιπλοῦντες λέγουσιν, ἀντὶ τοῦ ἠλειμμένον. οὕτως Θουκυδίδης (IV 68).

Ἀλήπτως· ⟨ἀ⟩καταγνώστως.

Ἀλητεύω· πλανητεύω.

Ἀλητόν· τὸν ἀληλεσμένον σῖτον.

Ἀλλ' ἤ· ἀντὶ τοῦ εἰ μή. καὶ ἀντὶ ⟦τοῦ⟧ ἁπλοῦ τοῦ ἤ. τίθεται δὲ
89r ἐνίοτε καὶ ἀντὶ τοῦ ἀλλὰ ἄρα | καὶ ἀντὶ ἁπλοῦ τοῦ ἄρα. Πλάτων (Gorg. 447a)· 'ἀλλ' ἦ κατόπιν ἑορτῆς ἥκομεν'; ἀντὶ τοῦ ἄρα.

Ἀλεία· πορεία.

Ἁλιάδας· μικρὰ σκαφίδια.

Ἁλιεύεσθαι· τὸ ἁλιεύειν· λέγουσι δὲ καὶ ὡς ἡμεῖς.

Ἁλιακή· ἁλιευτική.

Ἀλίαστον· τὸ μάταιον. Εὐριπίδης (fr. 1123). ἔστι δὲ καὶ τὸ ἀνέγκλητον, ὃ οὐκ ἔστι φυλάξασθαι, κατ' ἀπόφασιν.

Ἀλίβας· ὁ νεκρός. ἢ ποταμὸς ἐν Ἅιδου. λέγεται καὶ τὸ ὄξος, ἀπὸ τοῦ μὴ λείβεσθαι τοῖς θεοῖς.

Ἄλιμον· βοτάνη δενδροειδὴς ἐσθιομένη.

Ἁλιμούσιος· Ἁλιμοῦς δῆμος τῆς Λεοντίδος.

---

8. 9 B 383, 5 (kürzer) **11. 12** B 383, 6 (vgl. Sui.) aus Phrynichos (Bek. 20, 1) **13** B 375, 33 Sui. vgl. A **14** B 375, 3 A Sui. **15** Vgl. Hes. Erotian (47, 4) **16—18** B 376, 8 Sui. **19** B 376, 12 A Sui. Hes. 2814 **20** B 376, 13 A Sui. Hes. **21** B 381, 23 Sui. (aus Phrynichos?) **22** B 376, 3 Sui. **23. 24** B 383, 8 **25. 26** B 376, 21 A Sui., vgl. Hes. **27** B 376, 23 Sui., vgl. A **28** B 376, 25 Sui. aus Harp. (fehlt E)

---

3 ὑποστρέψαι *b* 6 ἐπιλέγειν *b* 8 Ἀληλίζειν ἀλήλλους *b* περαίνειν B sinnlos 10 ὅ] ὡς *b* 11 Ἀληλειμμένον *b* 12 εἰλημμένον *b* 14 πλανιτεύω *b* 15 Ἄλητὸν so mit Doppelakzent *b* 19 Ἀλία *b* Sui. 24 Lies ἀνέκκλιτον Nauck 26 λίβεσθαι *b*

Ἀλίνουσι· λεπτύνουσι. Σοφοκλῆς (fr. 904).

Ἁλίπαστα· οἴονται οἱ πολλοὶ τὰ ταριχηρά, οὐ χρῶνται δὲ οὕτως Ἀττικοί, ἀλλ' ἐπὶ τῶν ἁλσὶ πεπασμένων κρεῶν ὀπτῶν προσφάτων.

Ἀλινδῆθραι· κυλίστραι.

Ἁλίπεδον· ὁμαλὸν ἔδαφος παρὰ τῇ θαλάσσῃ. τινὲς τὸν Πειραιᾶ φασιν. ἔστι δὲ καὶ κοινὸς τόπος, ὃς πάλαι μὲν ἦν θάλασσα, αὖθις δὲ γέγονε πεδίον. διὸ καὶ δασυντέον τὴν πρώτην, ἁλὸς γὰρ πεδίον. ἄλλοι δὲ παρὰ τὸ δύνασθαι ἐν αὐτῷ ἵππους ἀλινδεῖσθαι, τουτέστι κονίσασθαι, τὴν ὀνομασίαν λαβεῖν.

⟨Ἁ⟩λίπλοα· ἐν θαλάσσῃ πλέοντα.

Ἁλιρρόθιον· κῦμα θαλάσσης. καὶ υἱὸς Ποσειδῶνος.

⟨Ἅ⟩λις ἀφύης μοι, παρατέταμαι γὰρ ἐσθίων· Ἀριστοφάνης Ταγηνισταῖς (fr. 506).

Ἅλις· ἱκανῶς, δαψιλῶς. Εὐριπίδης (Alc. 907, vgl. Schol u. Hes.) δὲ ἀντὶ τοῦ μετρίως.

Ἀλῖσαι· κυλῖσαι τὸν ἵππον.

Ἀλισγηθέν· ἑστιαθέν. μισηθὲν ἢ λυπηθέν.

Ἀλισγημάτων· τῶν μιασμάτων ἐκ μιαρᾶς τῶν εἰδώλων θυσίας.

Ἁλίσκει· νικᾷ.

Ἁλίσκεται· καταλαμβάνεται, κρατεῖται.

Ἅλις τοῦδε· οἷον ἀπόχρη καὶ ἱκανῶς ἔχει. εἴρηται δὲ ἀπὸ τῆς ἁλός, ὅτι καὶ αὐτὴ δαψιλὴς καὶ ἱκανή. ἢ ἀπὸ τοῦ ἅλες, ὅπερ ἐστὶν ἀθρόον.

Ἁλίσπαρτον· κυρίως τὸ ἁλὶ κατεσπαρμένον χωρίον, καὶ τὸ ἄλευρον δὲ οὕτως ⟨λέγεται⟩. οἱ δὲ ἰδιῶται συνήθως ἐπὶ τοῦ ἀχρήστου γεγονότος χρῶνται τῇ φωνῇ.

---

1 B 383, 11 **2. 3** B 383, 12 attizist. Quelle, vgl. Eust. 1827, 60 **4** Vgl. Hes., vgl. Phryn. Bek. 4, 32 **5—9** Zwei Teile: 1) bis θαλάσσῃ A; 2) aus Harp. Beide Teile B 376, 14 Sui. **10** B 376, 24 A Sui., vgl. Hes. **11** Zwei Glossen: 1) bis θαλάσσης 376, 26 A Sui. Hes; 2) B 377, 22 Sui. aus Harp. **12. 13** Sui. (aus Phrynichos?) **14. 15** B 376, 27 Sui., vgl. Hes. **16** B 383, 15 (Sui. Hes. Ἀλίσαι) **17** Zwei Teile: 1) vgl. Hes. Ἀλισγηθῇ; 2) B 377, 4. Beide vereinigt auch B 376, 33 Sui. Etwas anders C Ἀλιγησθέν (so) μιανθέν. λέγεται δὲ καὶ ἐσθιαθέν. καὶ λυπηθέν. **18** B 377, 1 Sui., vgl. Hes. **19** B 377, 3 Sui. Hes. C Ἁλίσκειν· νικᾶν, κρατεῖν. **20** B 377, 5 Sui. **21—23** B 383, 24 aus Phrynichos (Bek. 11, 16) **24—26** B 383, 27, vgl. Et. gen. = Et. magn. 65. 12, vgl. Hes.; aus Phrynichos (vgl. φωνῇ)

---

6 Lies κοινῶς 12 ἐσθίων] τὰ λιπαρὰ κάπτων Athen. II 96 c richtig 16 Ἀλίσαι und κυλίσαι *b* 17 ἐσθιαθὲν *b C* 18 θρησκείας καὶ θυσίας C 22 δαψιλὶς *b*

Ἀλιτρία· ἁμαρτία. Ἀριστοφάνης (Ach. 907).

⟨Ἀ⟩λιτήμων· ἁμαρτωλός.

Ἀλιτήριος· ἀνόσιος, ὁ ἐνεχόμενος μιάσματι καὶ ἐξημαρτηκὼς εἰς θεούς. Ἀριστοφάνης Ἱππεῦσιν (445)· ʽἐκ τῶν ἀλιτηρίων σέ φημι γεγονέναιʼ. οἱ ἁμαρτωλοὶ δὲ ἀλιτήριοι ἐντεῦθεν ἐκαλοῦντο καὶ πονηροί· λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους, καὶ οἱ πένητες διήρπαζον τὰ τῶν ἀλούντων ἄλευρα. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς ἐλέχθησαν οἱ τοὺς ἀλοῦντας τηροῦντες καὶ ἁρπάζοντες ἀλιτήριοι. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παράγωγος ἀπὸ τοῦ ⟨ἀ⟩λιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν.

Ἀλιτρίας· ἁμαρτωλίας. Ἀριστοφάνης (Ach. 907).

Ἀλκάθω καὶ Ἀλκάθειν· Σοφοκλῆς (fr. 905) καὶ Αἰσχύλος (fr. 411). σημαίνει δὲ τὸ βοηθεῖν.

89v Ἀλκαία· οὐρὰ ζῴου, | κυρίως δὲ τοῦ λέοντος, ἀπὸ τοῦ ἀλαλκεῖν, ὅ ἐστιν βοηθεῖν, ὥσπερ οὐρὰ ἀπὸ τοῦ οὐρεῖν, ὅ ἐστι φυλάσσειν. ἔνιοι δὲ ἀλκαίαν διὰ τὸ εἰς ἀλκὴν παρορμᾶν, ἐπεὶ ὁ λέων ἰσχία τε καὶ πλευρὰς μαστίζων τῇ οὐρᾷ εἰς μάχην ἑαυτὸν ἐποτρύνει. καὶ ταῦρος δὲ καὶ κύων καὶ ἄλλα ζῷα πολλὰ τῇ οὐρᾷ πρὸς ἀλκὴν κέχρηται. φασὶ δέ τινες καὶ τὴν οὐρὰν εἰρῆσθαι ἀπὸ τοῦ ὀρίνειν καὶ παρορμᾶν εἰς ἀλκήν.

Ἀλκμαίων· ἰσχυρῶν, ἀνδρείων, γενναίων.

---

1 B 377, 6 Sui., vgl. Eust. 1529, 45 Et. magn. 65, 10 **2** B 377, 7 C Sui. (vgl. Eust. a. a. O.) **3—11** Zwei Glossen: 1) bis γεγονέναι (5) Sui.; 2) B 377, 11 wieder aus zwei Teilen: a) 377, 11—14 (ἐκάλουν) und 377, 18—21 (παρέτεινε bis ἁμαρτάνειν) = C. Die Συναγωγή benützt hier wie oft Plato-Scholien (Leg. 854 b), die ihrerseits Aelius Dionys. benutzen (Schwabe p. 100, vgl. auch L. Cohn Jahrbb. f. Phil. Suppl. XIII 821 ff.) b) B 377, 14—18 (καὶ ἄλλως—ἀλιτήριοι) durch eine andere lexikalische Quelle (Miller Mélanges 411 = Schol. Plat. Rep. 470 c) ebenfalls aus Aelius. Beide Teile schon vereinigt in Et gen. Ἀλιτήριος· ὁ ἁμαρτωλὸς καὶ ἄδικος. ἀλιτήριοι δὲ ἐντεῦθεν κτλ. wörtlich gleich B 377, 11 (15 δὲ fehlt, 18 παρέτεινε richtig, 20 παράγωγον) Quellangabe: ταῦτα ἐκ τοῦ λεξικοῦ σχηματίζεται καὶ ἄλλως. Der Anfang ist hier in ursprünglicher Fassung erhalten **12** Vgl. Hes. (wo ἁμαρτωλίας zu schreiben). Vgl. oben S. 76, 1 **13. 14** B 383, 31 **15—21** B 384, 24, vgl. Didymos Schol. Apoll. Rh. IV 1614 **22** B 376, 28 C: Ἀλκμαῖον· ἰσχυρόν, ἀνδρεῖον

---

1 Ἀλέτρια *b* 6 καὶ πονηροί aus dem Schluß des ersten Teiles in B 8 παρεγίνετο *b* (falsch aufgelöst παρέτειν^e^) 10 γινομένης *b* 11 Lies παράγωγον 20 ὀρείνειν *b* 20 εἰς] τὴν *b* 22 Lies Ἀλκαίων



Ἀλκμαιωνίδαι· γένος ἐστὶν ἐπιφανὲς Ἀθήνησιν ἀπὸ Ἀλκμάνος.

Ἁλκυών· ὄρνεον θαλάσσιον, ἥτις τίκτει κατὰ τὸν Ἀριστοτέλην (Ζῴων ἱστ. V 8 p. 542 b 4) περὶ τροπὰς χειμερινάς, καὶ γίνεται τὸ πέλαγος ἀκίνητον ἐπὶ ἡμέρας ιδ'. καὶ καλοῦνται αἱ ἡμέραι ἐκεῖναι ἀλκυονίδες. τίκτει δὲ ἡ ἀλκυὼν ε' καὶ ἐκτρέφει. γίνονται δὲ αἱ ἀλκυονίδες ἡμέραι οὐ πανταχοῦ, ἀλλὰ περὶ τὴν Σικελίαν. δυσοιώνιστον δὲ εἶναι λέγεται τὸ ζῷον. ἐπὶ δὲ τοῦ ἀλκυών ὁ μὲν Ποιητὴς (I 563) συστέλλει τὸ ῡ, ὁ δὲ Εὐφορίων ἐκτείνει. λέγεται δὲ παρά τισι καὶ ἀλκυδὼν ἡ ἀλκυών, καὶ δαίμων τις Ἀλκύων παρὰ Λάκωσι.

Ἁλκυονίδες ἡμέραι· περὶ τοῦ ἀριθμοῦ διαφέρονται. Σιμωνίδης γὰρ ἐν Πεντάθλοις (fr. 12 B⁴) ια' φησὶν αὐτάς, καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων (V. 8), Δημαγόρας δὲ ὁ Σάμιος (fr. 3) ἑπτά, Φιλόχορος (fr. 180 M) ἐννέα. τὸν δὲ ἐπ' αὐταῖς μῦθον Ἀγήσανδρος ἐν τοῖς περὶ ὑπομνημάτων (fr. 4 b) λέγει οὕτως· Ἁλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν αὗται· Χθονία Ἄνθη Μεθώνη Ἀλκίππα Παλλήνη Δρυμὼ Ἀστερίη, αἳ μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Πελλήνης, ἔρριψαν αὑτὰς εἰς τὴν θάλασσαν, Ἀμφιτρίτη δ' αὐτὰς ὄρνιθας ἐποίησε καὶ ἀπὸ τοῦ πατρὸς ἀλκυόνες ἐκλήθησαν. αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι ἀλκυονίδες καλοῦνται.

Ἄλκαρ· βοήθημα, ἀλέξημα.

Ἀλκύωρον· εἶδος μαγγάνου. ἢ λίνον θηρευτικόν.

Ἀλκέτας· Μολοττῶν βασιλεύς. ἀλλὰ καὶ ὑποστράτηγος ἄλλος Ἀλεξάνδρου.

Ἀλκιβιάδης· ὁ Κλεινίου παῖς, ἀλλὰ καὶ ὁ πρόπαππος αὐτοῦ. ἄλλος δέ ἐστιν Ἀλκιβιάδης, οὗ μνημονεύει Ἀντιφῶν (fr. 8 S.).

Ἀλκίμαχος· στρατηγός ἐστιν οὗτος Ἀναγυράσιος τὸν δῆμον. ἕτερος δέ ἐστιν ὁ Μακεδών, οὗ μνημονεύει Ὑπερείδης (fr. 77 Bl.).

---

1 B 378, 11 Sui aus Harp. **2—9** Zwei Glossen: 1) bis θαλάσσιον (2) B 376, 29 C Sui.; 2) Nicht attizistisch, vgl. Hesych Ἀλκύων· εἶδος ὀρνέου. καὶ δαίμων τις (so zu schreiben, Ἀλκίων und δῆμος cod.) **10—19** Sui. B 377, 26 (aus Etymol. gen. erweitert), Photios aus Pausanias, vgl. Eust. 776, 33 (Schwabe p. 101) **20** Hes. **22. 23** B 378, 18 Sui. aus Harp. (E) **24. 25** B 378, 20 aus Harp. (E) **26. 27** B 378, 23 Sui. aus Harp. (E)

---

1 Lies Ἀλκμεωνίδαι Ἀλκμέωνος 2 θαλ^α *b* (wie meist) θαλάσσης B 5 καὶ ἐκτρέφει fehlt bei Arist. 6 δυσοιόνιστον *b* 7 ἀλκύων *b* wie 9 11 ια'] vielmehr ιδ' 13 Lies Ἡγήσανδρος 15 Αχθονία *b* (A rot am Zeilenanfang), φθονία χθονία B (über χ war ursprünglich φ geschrieben) 15 παλλίνη *b* δρειμῶ *b* B 16 καναστρέου *b* 17 πελλίνης *b* 20 ἀλέξιμα *b*

'Αλλ' ἄναξ· ἐξοδίου κιθαρῳδικοῦ ἀρχή, ὥςπερ κωμικοῦ μέν 'ἥδε καλλιςτέφανος', ῥαψῳδῶν δέ· 'νῦν δὲ θεοὶ μάκαρες τῶν ἐςθλῶν ἄφθονοι ἐςτέ.'

'Αλλὰ οὐ· ἀντὶ τοῦ ἀλλὰ πάλιν· Πλάτων Νυκτὶ μακρᾷ (fr. 83)· 'ἀλλὰ οὐ γέλοιον ἄνδρα μοι φροντίςαι μηδέν.'

'Αλλὰ γάρ· ἀντὶ τοῦ δέ. Εὔπολις Βάπταις (fr. 68)· 'ἀναρί-
90r στητος ὢν καὶ οὐ | βεβρωκώς, ἀλλὰ γὰρ ςτέφανον ἔχων'.

'Αλλὰ χρή· ἔςτω. ἢ τοῦτο δηλοῖ ςυγκατάθεςιν οἷον καὶ μάλα.

'Αλλαχοῖ καὶ ἀλλαχόςε· τὸ εἰς τόπον, ἀλλαχοῦ δὲ καὶ ἀλλαχόθι τὸ ἐν τόπῳ.

'Αλλάχθητε· ἀντὶ τοῦ διαλλάχθητε. Σοφοκλῆς (fr. 906).

'Αλληγορία· ἐπειδὰν ἄλλο τὸ γράμμα κατὰ τὸ πρόχειρον δηλοῖ, καὶ ἄλλο τὸ νόημα καταλαμβάνηται.

῎Αλλῃ· ἀντὶ τοῦ ἄλλως. ἢ κατ' ἄλλο. Θουκυδίδης (VI 96).

'Αλλογνοεῖν· τὸ μὴ ςαφῶς τι γνωρίζειν. ὅμοιον δέ ἐςτι τὸ ἀμφιγνοεῖν.

⟨'Α⟩λλοδαπά· ξένα, παντοῖα.

'Αλλήλων· ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης (fr. 1124). καὶ Θουκυδίδης (II 70)· 'καί πού τινες ἀλλήλων ἐγεύςαντο', ἀντὶ τοῦ ἑαυτῶν.

'Αλλοθρόους· ἀλλοφώνους.

'Αλλόκοτον· ἄτοπον, ἐναντίον, ξένον, ἀλλοφυές, ἐξ ἄλλου, ἀςυνάρτητον, ἀλλότριον. Πλάτων (fr. 228) δὲ καὶ ἀλλοκοτώτατον καὶ ἀλλοκοτώτερον εἶπεν.

'Αλλοκότως· ἐπιρρηματικῶς. Φερεκράτης (fr. 201).

'Αλλοπρόςαλλος· ὁ εὐμετάβλητος.

'Αλλοτριόγνωμος· ὁ τὰ ἀλλότρια ἐν γνώμῃ ἔχων καὶ μὴ τὰ ἑαυτοῦ.

1—3 Aus Aelius Dion., vgl. Eust. 239, 20 (Schwabe p. 102), vgl. Hes. **4. 5** B 384, 10 **6. 7** B 377, 8 Sui. **8** Sui. Zwei Teile B 376, 30 C und B 378, 26 **9. 10** B 378, 27 Sui. **11** B 376, 31 Sui. (C etwas umgestaltet) **12. 13** B 377, 23, vgl. Sui. **14** B 377, 25 Sui. **15. 16** B 385, 5 aus Phrynichos (Bek. 13, 3) **17** B 378, 16 Sui. C bis ξένα. **18. 19** B 378, 13 Sui. **20** B 378, 17 C Sui. Hes. **21—23** B 378, 31 Zwei Teile: 1) bis ἀλλότριον Sui. aus C der ξένον ἐναντίον ἐξ ἄλλου ἀςυνάρτητον ἀλλότριον ἀλλογενές. **24** B 379, 1 **25** C Hes. Erweitert B 378, 29 Sui. **26. 27** B 385, 7

---

2 καλλιςτέφα *b* 4 οὐ *b* B αὖ Bekker richtig μοι] μου Bekker 7 κοὐδὲν (richtig) B? 13 καταλαμβάνεται *b* 15 τὸ] lies τῷ E. Schwartz 22 Lies ἔξαλλον 26 μὴ] τιμὴ *b*

Ἀλλοτρίως· πολεμίως.

Ἄλλως· μάτην. ἢ μάλιστα, ἢ κατ' ἄλλον τρόπον.

Ἄλλως τε· μάλιστα.

Ἀλλοτριονομοῦντες· ἐναλλαγὴν ὀνομάτων ποιοῦντες. ἢ ὅλως τισί τινα μὴ προσηκόντως διανέμοντες.

Ἄλλην δρῦν βαλάνιζε· ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι, ἢ παρὰ τῶν αὐτῶν δανειζομένων.

Ἄλλος ⟨ἄ⟩λλον· ἀντὶ τοῦ ἀλλήλους.

Ἄλλος· ἀντὶ τοῦ ἕτερος. Ὅμηρος (I 313)· 'ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ'. τάσσεται δὲ καὶ ἀντὶ τοῦ τις (λ 127)· '⟨ὁπ⟩πότε ⟨κεν .... ἄλλος⟩.'

Ἄλλο ἕτερον· ἐκ παραλλήλου λέγεται. Μένανδρος Μέθῃ (fr. 322)· 'εἶτ' οὐκ εἶχεν οὐ πῦρ οὐ λίθον οὐκ ἄλλ' ὁτιοῦν ἕτερον.' Κράτης Παιδιαῖς (fr. 24)· 'τοῖς δὲ τραγῳδοῖς ἕτερος σεμνὸς πᾶσιν λόγος ἄλλος ὅδ' ἔστιν' ⟦ἄλλος μάτην⟧.

Ἄλλος οὗτος Ἡρακλῆς· παροιμιῶδες ἐπὶ Θησεῖ λεχθὲν τὸ πρῶτον, ἢ τῷ τῶν Ἰδαίων Δακτύλων Ἡρακλεῖ, ἢ τῷ Ἀλκμήνης διὰ τοὺς παλαιοτέρους.

Ἀλλόφασις· θόρυβος ταραχώδης.

Ἀλλοφάσειν· ἑτεροχροεῖν, περιορᾶν, οὐχ ὑποφέρειν βάρος.

Ἀλλοφάτοις· ὑπὸ ἄλλων πεφατισμένοις, οἷον ἀνῃρημένοις.

Ἅλμα· πήδημα.

⟨Ἁ⟩λμάδες· κολυμβάδες ἐλαῖαι.

Ἁλμυρίδες· τόπος τις περὶ τὰς ἐσχατιὰς τῆς Ἀττικῆς. Ἀριστοφάνης τηρεῖ (fr. 132)· 'ἔδει δέ γέ σε βληθεῖσαν εἰς Ἁλμυρίδας τῇ θυγατρὶ δει⟨λῇ⟩ μὴ παρέχειν σε πράγματα.'

Ἁλμυρόν· τὰ πολλὰ ἐκτεταμένως. λέγουσι δὲ καὶ ἁλυκόν.

---

1 B 379, 3 C Sui., vgl. Hes. **2** B 379, 4 C Sui., vgl. Hes. **3** B 379, 5 C Sui. Hes. **4. 5** B 379, 7 Sui. aus Timaios **6. 7** Sui. **8** B 379, 9 Sui. **9—11** B 379, 11 **12—15** B 379, 31 Sui. **16—18** Sui. Teil 2 aus Aelius Dion. (Eust 589, 41 Schwabe p. 101) **19** B 386, 8 Hes. **20** B 386, 9. 10 Hes. **21** B 386, 11 Hes. **22** B 379, 6 C Sui. Hes. **23** B 379, 15 C Sui. Hes. Et. magn. 69, 7. Ähnlich Herodians Symp. vgl. Athen. IV 133a **24—26** B 383, 16, vgl. Hes. **27**—p. 80 **2** B 383, 20

---

8 ἀλλήλως *b* 10 κεύθει auch Eudemos, lies κεύθῃ 13 ἄλλ' ὁτιοῦν Porson ἄλλο τι οὐχ *b* ἀλλοτιοῦθ' B Sui. 14 πασιλόγος *b* 15 Rest einer Glosse Ἄλλως vgl. oben Z. 2 17 ἀλκμίνης *b* 20 Lies Ἀλλοφάσσειν (vgl. Hes.) παρορᾶν B 25 Lies Γήρᾳ und ἐκβληθεῖσαν (Seidler, Bergk) μὴ τῇ θυγατρὶ δεῖ *b* τηδι μη B δει⟨λῇ⟩ E. Schwartz

Ἀριcτοφάνηc Λυcιcτράτῃ (403)· ‘νὴ τὸν Ποcειδῶ τὸν ἁλυκὸν δίκαιά γε.’

90v Ἀλοάcαντα· ἐν τῷ ᾱ Φερεκράτηc | Ἰπνῷ (fr. 65)· ‘ὑποζυγίοιc ἀλοάcαντ’ εὐθὺc ἐκποιῆcαι.’ τὸ δὲ cυγκόψαι πληγαῖc ⟨ἀ⟩λοῆcαι ἐν τῷ η̄.

Ἀλοᾶν· τύπτειν, βάλλειν. καὶ τὸ θρύπτειν ἐπὶ τῆc ἅλω cῖτον.

Ἀλοία· ἔτυπτεν. ἀφ’ οὗ καὶ πατραλοίαc Ἀττικῶc, ὁ πατροτύπτηc.

Ἁλοῖεν· ληφθεῖεν.

Ἀλογήcει· ἀμελήcει, οὐ φροντίcει.

Ἀλογίου· δίκη, ἣν φεύγουcιν οἱ ἄρχοντεc λόγον οὐ δόντεc τῶν τῆc ἀρχῆc διοικημάτων.

Ἄλογα· ⟨ἄ⟩ρρητα. Σοφοκλῆc (fr. 241).

Ἄλογοι ἐρανιcταί· οἱ μήπω τὸν ἔρανον ἀνῃρημένοι, μηδὲ καταθέμενοι τὴν τοῦ ἐράνου καταβολήν, οἷc οὐδείc ἐcτι λόγοc πρὸc τὸ μὴ ὀφείλειν. ἢ οἱ μήπω ἐξειληχότεc τὸ ἐπιβάλλον ἑαυτοῖc.

Ἁλῷα· ἑορτὴ Δημητρὸc καὶ Διονύcου. προcηγόρευται δὲ διὰ τὸ ταῖc ἀπαρχαῖc ⟨ταῖc⟩ ἀπὸ τῆc ἅλω τότε καταχρήcαcθαι φέρονταc εἰc Ἐλευcῖνα. ἢ ἐπεὶ ἐν ἅλωcιν ἔπαιζον ἐν τῇ ἑορτῇ. ‘ἤγετο δὲ ἐπὶ τῇ cυγκομιδῇ τῶν καρπῶν ἑορτὴ Ἁλῷα, ἐν ᾗ καὶ Ποcειδῶνοc πομπή.’ ἀπὸ δὲ τοῦ cυναυλίζεcθαι εἴρηται, ὅθεν καὶ ἄλωc, καὶ ἡλιαία δέ, ἐπεὶ πολλοὶ δικαcταὶ cυναθροίζονται.

Ἀλοῶν· ἀντὶ τοῦ περιάγων, ὡc οἱ ἀλοῶντεc βόεc. οὕτωc Ἀριcτοφάνηc (Thesm. 2).

Ἀλύειν· ἔνιοι τὸ μὲν ἐπαίρεcθαι δαcέωc ἀξιοῦcι προφέρεcθαι

3—5 B 379, 28 Sui. (anders Phrynichos Bek. 16, 1) **6** B 384, 6, vgl. Et. magn. 69, 57 **7. 8** B 384, 8 Hes. Ähnlich (nur ἔτυπτεν παρὰ τὸ ἀλοιῶ, ὅθεν καὶ) Et. gen. ohne Quellenangabe. **9** B 379, 17 C Sui. (κρατηθεῖεν zugefügt C) **10** B 379, 16 C Sui. Hes. **11. 12** Sui. Hes. Et. magn. 70, 34 **13** Hes. B 385, 16 (mehr) **14—16** Zwei Glossen: 1) bis ὀφείλειν (16) B 380, 6 Et. magn. 70, 34 2) Sui. aus Harp. **17—22** B 384, 31 aus Pausanias (Eust. 772, 25 Schwabe p. 104), dieser z. T. aus Philochoros **23. 24** B 384, 3 (das hier angefügte Komiker-Fragment ἀλοᾶν χρὴ τοὺc γνάθουc, angeblich Aristoph. fr. 661, gehört zur folgenden Glosse Ἀλοᾶν· τύπτειν), vgl. Sui. und Schol. Thesm. 2 **25** — p. 81 **6** B 380, 20 Sui. (beide interpoliert) aus Aelius Dion. (Eust. 1636, 25 wörtlich; es folgt Pausanias; falsch behandelt Schmidt. a. a. O. und Schwabe p. 103 Anm.)

---

1 ποcειδῶν *b* 3 Αἴπνω *b* (A rot) 7 πατραλλοίαc *b* 16 ἐξειλεχότεc *b* 17 Ἀλοῖα *b* 18 φέροντεc *b* 19 ἔπεζον *b* 20 ἄλωα *b* 21 cυναλίζεcθαι Schwabe richtig (vgl. Eust.) 23 Lies τοὺc βόαc 25 ἐνίοτε μὲν *b*



(ϲ 333)· ‘ἦ ἀλύειϲ ὅτι Ἶρον ἐνίκηϲαϲ’; τὸ δὲ λυπεῖϲθαι ψιλῶϲ (Ε 352)· ‘ὣϲ ἔφαθ’, ἣ δ’ ἀλύουϲα ἀπεβήϲατο’. Δίδυμοϲ (Comment. Od. fr. 9 p. 185 Schmidt) δὲ ἀμφότερα ψιλῶϲ· τὸ μὲν γὰρ ἀπὸ τοῦ ἀλεαίνεϲθαί φηϲι, τὸ δὲ ἀπὸ τῆϲ ἄληϲ. Ἀττικώτερον δὲ τὸ ἀμφότερα δαϲέωϲ. καὶ γὰρ τὸ ἀλεαίνεϲθαι δαϲύνουϲιν οἱ Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα· ἁμίϲ ἅμαξα ἁμνόϲ Ἁλαεῖϲ ἁνύειν ἁμῶϲ.

Ἁλόντεϲ· ληφθέντεϲ.

Ἁλὸϲ ἄχνη· ἀφρὸϲ θαλάϲϲηϲ.

Ἁλὸϲ θείοιο· τοῦ ἐντίμου, διὰ τὴν πολλὴν αὐτοῦ καὶ πανταχοῦ χρῆϲιν. ἢ τοῦ καθαροῦ καὶ ἀφθάρτου. ἢ τοῦ δικαίου καὶ ἀναγκαίου, δικαίου μέν, καθότι μυϲτικῶϲ οὕτωϲ προϲαγορεύεται· ϲπονδαὶ γὰρ καὶ ὁμεϲτίων ... καὶ ἱερῶν ⟦καὶ ἱερέων⟧ καὶ τραπέζηϲ κοινωνία τούτῳ χαρακτηρίζονται· ἀναγκαίου δὲ πρὸϲ διαμονὴν καὶ ἐπιτηδειότητα καὶ εὐεξίαν τῶν χρηϲίμων ἀνθρώποιϲ. καὶ τὸ πῦρ δὲ θεῖον καὶ ἡ θάλαϲϲα ἔοικε διά τινα τοιαῦτα καλεῖϲθαι. ἢ διὰ τὸ καθάρϲιον λυμάτων εἶναι. ἔτι τε τὸ ϲπουδαῖον ⟨καὶ καλὸν⟩ καὶ ἀγαθόν, ἢ τὸ μέγα καὶ ἄριϲτον θεῖον λέγεται.

Ἀλοϲτατεῖ· ϲτρατεύεται.|

Ἀλοκίζειν· ἀροτριᾶν. **91r**

Ἀλοιμόϲ· τὸ τῶν τοίχων χρῖϲμα.

Ἀλοιφή· τὸ λίποϲ.

Ἄλοπον· ἀλέπιϲτον.

Ἄλογοι ἐρανιϲταί· ....

Ἀλογίαν· τὸ μηδένα λόγον ἔχειν, ἀλογιϲτὶ δὲ πράττειν. οὕτωϲ Δημοϲθένηϲ (23, 168) καὶ Πλάτων ⟦ά⟧.

Ἁλόνηϲϲοϲ· νηϲύδριον ἐν τῷ Αἰγαίῳ πελάγει.

Ἀλόπη· Κερκύονοϲ θυγάτηρ, ἐξ ἧϲ καὶ Ποϲειδῶνοϲ Ἱπποθόων, ὁ τῆϲ Ἱπποθοωντίδοϲ φυλῆϲ ἐπώνυμοϲ.

---

7 B 379, 19 Sui. **8** B 379, 21 C Sui. Hes. **9—17** B 384, 13, vgl. Schol. zu I 214, Plut. quaest. conv. V 10 **18** B 381, 22 Sui. **19** B 385, 10 Hes. Et. magn. 70, 37, vgl. Sui. **20** B 385, 9, vgl. Hes. Ἄλοιμα Eust. 764, 15 aus den ῥητορικὰ λεξικά **21** B 379, 18 Sui., vgl. Hes. **22** B 379, 20 Sui. Hes. Et. magn. 70, 38 **23** Der Stellung nach Wiederholung der Harpokration-Glosse oben S. 80, 14 **24. 25** B 380, 4 Sui. aus Harp. (vgl. An. Ox. II 489, 2) **26** Sui. aus Harp. **27. 28** B 380, 10 Sui. aus Harp.

---

1 ἦ] τί *b* 6 ἀλάειϲ *b* 11 καθότι] κὰ *b* (am Zeilenschluß) 12 ohne Lücke *b* B 13 ἀναγκαῖον *b* B 15 καθάρϲια *b* 18 Lies Ἀλλοϲτατεῖ (? Dind. im Thes.) 23 Lücke von etwa 10 Buchstaben *b* 26 Ἀλόννηϲοι *b* αἰγέῳ *b*

῾Αλοcύδνηc· τῆc ἐν ἁλὶ γενομένηc. ὁ δὲ ῾Ηλιόδωροc τῆc θαλάccηc ἀπέδωκεν.

῾Αλουργά· θαλαccοπόρφυρα. ἁλουργικά δὲ τὰ πορφυροβαφῆ νήματα καὶ λεπτά.

῾Αλουργίc· πορφύρα.

῾Αλουργοπωλική· ἡ πορφυροπωλικὴ λεγομένη. οὕτωc ᾿Ιcαῖοc (fr. 38 S.).

῾Αλουργαῖον· ἀντὶ τοῦ ἁλουργέc. ᾿Αριcτοφάνηc.

᾿Αλόχευτοc· ἀγέννητοc.

῾Αλοῦcα· ληφθεῖcα.

᾿Αλύβαc· λίμνη λέγεται ἐν ῾Υπερβορέοιc.

῎Αλυδιc· μεταλλαγή. ἢ ἄλλη.

᾿Αλύει· ἀδημονεῖ, δυcχεραίνει, ἀθυμεῖ, ἀπορεῖ.

᾿Αλυκτεῖν· δυcφορεῖν.

᾿Αλύξαι· ἐκφυγεῖν. ἢ καταξύcαι.

῎Αλυποc· ὁ μὴ λυπούμενοc. λέγεται δὲ καὶ ἀλύπητοc. Θεόπομποc (fr. 81 Kock).

῎Αλυπον ἄνθοc ἀνίαc· εἰ θέλοιc εἰπεῖν ἐπί τινοc πράγματοc, ὃ λύπηc ἀπαλλάττει, οὕτωc ἂν χρήcαιο, ὡc καὶ Σοφοκλῆc ἐν τῷ Διονυcιακῷ τῷ cατυρικῷ (fr. 174) ἐπὶ οἴνου πρῶτον γευcαμένων τῶν κατὰ τὸν χορὸν cατύρων· ῾πόθεν ποτὲ ἄλυπον ὧδε εὗρον ἄνθοc ἀνίαc;᾿ ὅλον δὲ τὸ μελύδριον πολιτικῶc ἄγαν γέγονε. μετὰ γὰρ τῆc ἄλληc ἐναργείαc λελυμένην ἔχει τὴν ἑρμηνείαν καὶ μεθύουcιν ἁρμόττουcαν. δεῖ δὲ τὰc λύcειc τῆc ἑρμηνείαc ἁρμόττειν τοῖc νοήμαcι καὶ μὴ cφίγγειν, καὶ μηδαμοῦ cύνδεcμον παρατιθέναι, ἀλλ᾿ ἀκήρατον τὴν λύcιν φυλάττειν.

---

1. 2 B 384, 1, vgl. Sui. Hes. **3. 4** B 379, 23, vgl. Sui. (Hes.) **5** B 379, 22 C, vgl. Sui. **6. 7** 379, 25 Sui. aus Harp. **8** B 380, 14 Sui. ῾Αλουργίδιον **9** B 380, 13 C Sui., vgl. Hes. **10** B 380, 12 C Hes. **11** B 380, 9, vgl. Et. magn. 70, 41 **12** B 385, 12, vgl. Hes. ῎Αλλυδιc ἄλλη **13** C Sui. **14** B 385, 13 atticist., vgl. Eust. 1636, 29 **15** B 380, 19 C Sui. (ἢ καταξύcαι aus Glosse ᾿Αμύξαι) **16. 17** B 385, 14 **18—26** B 385, 18 aus Phrynichos

---

2 θαλαῶ απέδωκεν *b* 5 Lies πορφυρᾶ ⟨χλανίc⟩ wie Sui. 8 Lies ῾Αλουργίδιον ἀ. τ. ἁλουργίc. ᾿Αντιφάνηc (fr. 310; die Lemmata sind auch in den Handschr. des Et. gen. in Majuskeln geschrieben; Aristoph. fr. 741 ist zu streichen) ῾Αλουργιαῖον B Sui. ἀντιφάνηc B Sui. 11 ὑπερβοραίοιc *b* 12 Lies ῎Αλλυδιc ἄλλη· μεταλλαγή 16 λέγει *b* 18 θέλειc *b* 21 τῶν] τὸν *b* 23 ἐναργίαc *b* λελυμμένην *b* 23 μεθύουcαν *b*

Ἀλυcθαίνειν· ἀδυνατεῖν.

Ἄλυc· ἡ ἄλη καὶ ὁ ῥιπαcμόc. καὶ ἀλύειν τὸ μηδὲν πράττειν. 'τί δ' οὐ ποιεῖc ἄριcτον; ὁ δὲ ἀλύει πάλαι κατακείμενοc.' Μένανδροc Ἐπιτρέπουcιν.

Ἀλυcιτελέc· τὸ ἀcύμφορον.

Ἁλύcιον· ἁλυcίδιον, πλόκιον ⟨περὶ τὸν τράχηλον⟩. Μένανδροc ⟨Καρίνῃ⟩ (fr. 258)· 'περὶ τὸν τράχηλον ἁλύcιόν τί cοι δότω'.

Ἀλυcκάζειν· τὸ διεκδύεcθαι καὶ ἀποδιδράcκειν. ἢ περιίcταcθαι, ἐκκλίνειν.

Ἄλφα· τοῦτο ὑπὸ Φοινίκων βοὸc κεφαλὴ ἐκαλεῖτο. καὶ Μωϋcῆc δὲ ὁ νομοθέτηc ὑπὸ Ἰουδαίων διὰ τὸ πολλοὺc ἔχειν ἀλφοὺc ἐν τῷ cώματι οὕτωc ἐκαλεῖτο. ἀλλὰ καὶ τοῦτο Νίκαρχοc ὁ τοῦ Ἀμμωνίου ἐν τῷ περὶ Ἰουδαίων (FHG III p. 335) φλυαρεῖ. οὕτω καὶ ὁ cῦc ὁ πλήξαc τὸν Ἄδωνιν. | ἐκλήθη δὲ οὕτωc ὑπὸ ἀcβωτῶν τῶν ἐν Φοινίκῃ. *91v* παρὰ Φοίνιξι δὲ καλεῖται καὶ ἀπηνὴc καὶ ἄγριοc. Ἄλφα δὲ καλεῖται καὶ ὁ Ὄcιριc ὑπὸ Βυβλίων, ἀλλὰ καὶ τὸ ἐλάχιcτον.

Ἀλφάνει· εὑρίcκει. Μένανδροc Ὁμοπατρίοιc (fr. 362)· 'ἣν δηλοιουτι νυμφίοc τε ἀλφάνει'. Ἀριcτοφάνηc Θεcμοφοριαζούcαιc (β' fr. 324)· 'οἴμοι κακοδαίμων τῆc τόθ' ἡμέραc, ὅτε εἶπεν μ' ὁ κῆρυξ· οὗτοc ἀλφάνει.' Εὔπολιc Ταξιάρχαιc (fr. 258)· 'οὐ θᾶττον αὐτὴν δεῦρό μοι τῶν τοξοτῶν ἄγων ἀποκηρύξει τιc, ὅ τι ἂν ἀλφάνῃ'. καὶ ὁ Ποιητὴc (Φ 79)· 'ἑκατόμβοιον δέ τοι ἦλφον'.

Ἀλφαίνειν· τὸ παραλλάccειν. ἐξ οὗ καὶ οἱ ἐν τῷ cώματι ἀλφοί· παραλλάccουcι γὰρ κατὰ τὸν χρῶτα.

Ἀλφαίνει· ζητεῖ, εὑρίcκει. ἔνθεν τιμαλφὴ ἡ πολλὴν εὑρίcκουcα τιμήν.

---

1 B 385, 31 aus Atticist, vgl. Eust. 1636, 29 Et. magn. 70, 47 Ἀλυcιαίνειν **2—4** Atticist. Eust. 1636, 25 ἄλυc· ἄλη ῥιπαcμόc, καὶ ἀλύειν τὸ μηδὲν πράττειν **5** B 381, 3 C Sui. Hes. **6. 7** B 380, 30 Sui., vgl. Hes. **8. 9** Zwei Teile: 1) bis ἀποδιδράcκειν vgl. Hes.' Gl. 2; 2) Sui., aus Atticist, vgl. Eust. 1636, 28 **10—16** B 381, 27; bis ἐκαλεῖτο (10) vgl. Hes. Ἄλφα; Rest wohl z. T. aus Ptolemaios Hephaistion, vgl. Phot. Bibl. I p. 151b 7 Bekker (vgl. auch Helladios ebenda II p. 529b 27) **17—22** Sui. B 382, 8 **23. 24** B 382, 4 **25. 26** B 382, 6

---

2 ἢ ἄληc *b* 4 ἐπιτρεπούcῃ *b* 6 Ἀλύcιον immer *b* 14 ἀπὸ *b* Ἀcδωτίων (Ἀζωτίων) E. Schwartz φοινίκι^{η} so *b* 16 βιβλίων *b* B 18 δηλοιουτι *b* δηλονοῦνι Sui. codd. B E[1] 19 τιc ποθ' *b* 21 ἀλφάνει *b* 22 τοι] τι *b* 24 γὰρ] δὲ *b*

'Αλφινία· ἡ λευκή.

'Αλφηστῆσιν· ἐντίμοις.

"Αλφι· ⟨ἄ⟩λφιτον. τοῦτο δὲ καλεῖται ἀπότρωκτον, ὅ φασι πρῶτον εὑρεῖν 'Επίχαρμον.

"Αλφιτα· κυρίως μὲν τὰ ἀπὸ πεφρυγμένων καὶ ἀλεσθεισῶν κριθῶν θραύσματα, καταχρηστικῶς δὲ καὶ τὰ ἀπὸ πυρῶν ἢ φακῶν.

'Αλφιταμοιβοί· ἀλφιτοπῶλαι, οὐ πρὸς ἀργύριον, ἀλλὰ ἀλφίτων κριθὰς ἀμειβόμενοι.

'Αλφιτόχρωτος· τῆς λευκῆς. ἐπὶ δὲ τῆς κεφαλῆς τῆς πολιᾶς Τελεμησσεῦσιν 'Αριστοφάνης (fr. 533).

⟨'Α⟩λφιτεῖς· οἱ τὰ ἄλφιτα ποιοῦντες. 'Υπερείδης (fr. 224 Bl.).

'Αλφίτων στοά· ἡ ἀλφιτόπωλις, ἐν ᾗ καὶ ἡ Ζεύξιδος ἀνέκειτο 'Ελένη.

⟨'Α⟩λφός· ἡ μέν τις λευκὴ παραλλαγὴ κατὰ τὸ χρῶμα μετά τινων λεπτῶν στιγμάτων, καὶ καλεῖται λευκὸς ἀλφός, ἡ δὲ ὑπομελανίζουσα, καὶ καλεῖται μέλας ἀλφός.

'Αλφούς· λευκούς, ἢ λευκάς.

"Αλω· ἀντὶ τοῦ ἄλες. Φιλύλλιος (fr. 28).

'Αλῷ· πιασθῇ, καταγνωσθῇ.

'Αλῶα· Ποσειδεῶνος πέμπτῃ φθίνοντος. ἑορτή ἐστιν 'Αττική. Φιλόχορος (fr. 161 M.) δέ φησιν ὀνομασθῆναι ἀπὸ τοῦ τότε τοὺς ἀνθρώπους τὰς διατριβὰς περὶ τὰς ἅλως ποιεῖσθαι.

'Αλωαί· ἀλωνίαι. ἢ παράδεισοι.

---

1 B 386, 18 aus Diogenian. Hes. 'Αλφινία· ἡ λευκή. Περραιβοί. **2** B 386, 17, vgl. Hes. 'Αλφισταί **3. 4** B 381, 1 Sui., vgl. Hes. (vgl. Strabo 8, 364) **5. 6** Schol. Plat. Pol. II 372b. Atticist vgl. Eust. 868, 41 **7. 8** B 386, 1, vgl. Hes. (entgegengesetzt Schol. Ar. Nub. 640) **9. 10** B 386, 6 (vgl. Hes.) atticistisch vgl. Eust. 868, 37 (Quelle οἱ παλαιοί) 976, 53 **11** B 381, 7 Sui. **12. 13** B 385, 32, vgl. Sui. 'Αλφιτόπωλις; attic. Eust. 868, 37 (nach 'Αλφιτόχρωτος) **14—16** B 386, 13, vgl. Hes. **17** B 381, 4 C Sui. **18** B 381, 6 Sui. **19** B 381, 5 Sui., vgl. Hes. C: 'Αλῷ κρατηθεῖ καταγνωσθεῖ (so) **20—22** Zwei Glossen: 1) bis φθίνοντος atticistisch (indirekt aus Philochoros, das Datum ist neu); 2) B 381, 14 Sui. aus Harp. **23** B 381, 8 Sui. C: 'Αλωαί· ἀλωνίαι καὶ αἱ ἄμπελοι. καὶ ὅταν μὲν γράφηται διφθόγγῳ σημαίνει ταῦτα, ὅταν δὲ διὰ μικροῦ ο̅ σημαίνει ξυλαλόην.

---

1 'Αλφηνία *b* 10 τελμισεῦσιν *b* 11 'Αλφιστεῖς B 12 'Αλφίστων B vielleicht 'Αλφιτῶν? 12 ἀλφιτόπολις *b* 18 Lies 'Αλῶ ἀντὶ τοῦ ἀλέσω (Pierson zu Moer. 17) φιλίλλιος *b* φιλάλλιος B 19 πιασθεῖ καταγνωσθεῖ *b* vgl. C 20 'Αλωὰ *b* αἰτικὴ *b*

Ἀλώβητον· ἄμωμον, ἀβλαβές.

Ἀλώμενος· πλανώμενος.

Ἀλωπόχρους· ὁ πολιός.

⟨Ἁ⟩λώνητος· οἷον βάρβαρος. οἱ γὰρ Θρᾷκες ἀνδράποδα ἁλῶν ἀπεδίδοντο.

Ἁλῶναι· ληφθῆναι, συνδεθῆναι.

Ἀλώπηξ δωροδοκεῖται· ἐπὶ τῶν ῥᾳδίως δώροις ἁλισκομένων. Κρατῖνος Νόμοις (fr. 128)· | ʽὑμῶν εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδο- **92r** κεῖταιʼ.

Ἀλώπηξ τὸν βοῦν ἐλαύνει· τάττεται ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων.

Ἀλωπεκῆθεν· δῆμός ἐστιν ἡ Ἀλωπεκὴ τῆς Ἀντιοχίδος, καὶ ὁ δημότης Ἀλωπεκεύς.

⟨Ἀ⟩λωπεκόννησος· πόλις ἐστὶ μία τῶν ἐν Χερρονήσῳ.

Ἁλώσιμα· εὔληπτα.

Ἁλωτοί· ληπτοί, χειρωτοί.

Ἀλωπεκέως· ἀμπέλου εἶδος.

Ἅμα· ἐν τῷ αὐτῷ χρόνῳ. καὶ ἐκ διαφόρων τόπων εἰς ἕνα τόπον. καὶ ὁμόσε.

Ἁμάδρυα· κοκκύμηλα. Σικυώνιοι.

Ἀμᾶν· θερίζειν. παρὰ τὸ ἅμα.

Ἀμάδοκος· δύο γεγόνασι, πατὴρ καὶ υἱός, ὃς Φιλίππῳ συμμαχήσων ἦλθεν εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον.

Ἀμαζόνιον· ἱερόν, ὃ Ἀμαζόνες ἱδρύσαντο. οὕτως Ἰσαῖος (fr. 27 S.).

Ἀμαθίας ὕψος· λαμπρὰ καὶ συγγραφικὴ ἡ φράσις. Πλάτων ἐχρήσατο ἐν Ἐπιστολαῖς (VII 351 e).

Ἀμαθία· ἀντὶ τοῦ ἀναισθησία. Πλάτων (z. B. Leg. III 689 a).

---

1 B 381, 9 C Sui., vgl. Hes. 2 B 381, 10 C Sui. Hes. 3 B 381, 11 Sui. Eust. 1968, 40 4. 5 B 380, 16 Sui. (Teil 2), vgl. Hes. 6 B 381, 12 C Sui. Hes. 7—9 Sui. (vgl. Bek. 218, 29) 10. 11 Sui. 12. 13 B 381, 17 Sui. aus Harp., vgl. Hes. 14 B 381, 19 Sui. aus Harp. 15 B 381, 13 C Sui., vgl. Hes. 16 C Sui. Et. gen.: Ἁλωτός· ληπτός, χειρωτός. εἴρηται περὶ τούτου εἰς τὸ Δῶρον, εἰς τὸ Δ. στοιχεῖον. ἔστι δὲ ῥητορική. 17 B 386, 16, vgl. Hes. 18. 19 Hes. 20 Hes. 21 B 386, 20 C Hes. 22. 23 Sui. aus Harp. 24. 25 Sui. aus Harp. 26. 27 aus Phrynichos 28 Sui.

---

20 Ἅμα δρύα *b* 24 Ἀμαζώνιον *b*

Ἀμαθής· ἀντὶ τοῦ ἀπαίδευτος καὶ ἀκόσμητος. ὁ αὐτός (z. B. Theaet. 171 d). τάσσεται δὲ καὶ ἐπὶ τοῦ δυσμαθοῦς καὶ ἐπὶ τοῦ μὴ μαθόντος, φύσει δὲ ἐπισταμένου.

Ἀμαιμάκ⟨ετ⟩ον· ἀνυπόστατον.

Ἀμαλθείας βίος· ὁ λιπαρὸς καὶ εὐδαίμων.

Ἀμαλθείας κέρας· τὸ πάντων ἐπιτυγχάνειν, ἐπειδὴ οἱ εὐχόμενοι τῇ οὐρανίᾳ αἰγὶ ἐπιτυγχάνουσιν. Ἀριστοφάνης· 'ἡ μὲν πόλις ἐστὶν Ἀμαλθείας κέρας, σὺ μόνον εὖξαι καὶ πάντα πάρεσται'.

Ἀμαλθεύειν· τρέφειν. Σοφοκλῆς Ἀλεξάνδρῳ. ἔνθεν καὶ ἡ Ἀμάλθεια.

Ἀμαλδύνεσθαι· ἀφανίζεσθαι.

Ἀμάλθακτον· ἀνένδοτον, ἑδραῖον.

Ἀμαλόν· ἀσθενές.

Ἀμαλλεῖον· νῦν δὲ οὐλόδετον τινές. οἳ δέ ὠρόδεσμον, τὸν ἐκ τῆς καλάμης στρεφόμενον δεσμόν, ᾧ δεσμοῦσι τὰ δράγματα καὶ τὴν συγκειμένην ἐκ τούτων ἀμάλλαν· ἀμάλλαι γὰρ αἱ ἐκ τῶν δραγμάτων ἀγκαλίδες. οἳ δέ τὸν δεσμὸν τοῦ δράγματος. ἀμάλλας γὰρ τὰ δράγματα ἐκάλουν. Καλλίας Πεδήταις· 'ὅτε ἀμαλλείῳ παῖς ὢν ἐδέθην'.

Ἀμάμαξυς· ἄμπελος ἀναδενδράς.

Ἀμαμιθάδες· ἥδυσμά τι σκευαστὸν διὰ κρεῶν εἰς μικρὰ κεκομμένων.

Ἀμαμηλίδας· τὰς ἀπίους.

Ἅμαξα τὸν βοῦν ἕλκει.

⟨Ἅ⟩μαξα· ἡ ναῦς παρὰ τοῖς Ἀττικοῖς, καὶ ἴσως εἰκάζουσιν αὐτὴν ἁμάξῃ ἀπὸ τοῦ ἀμᾶν τὴν θάλασσαν. ἡ λέξις παρ' Αἰσχύλῳ.

Ἀμαξαντεύς· Ἀμαξάντεια δῆμός ἐστι τῆς Ἱπποθοωντίδος φυλῆς.

Ἁμαξίδας· τὰ μικρὰ ἁμάξια, ἃ τοῖς παιδίοις ἐποίουν παίγνια.

1—3 Sui. **6—8** Hes. (Teil I) **9. 10** Vgl. Hes. **11** Sui. **12** Sui. C: σκληρόν, ἑδραῖον **13** Vgl. Hes. **14—18** Atticist vgl. Eust. 1162, 31 und das ῥητορικόν des Symeon Reitzenstein Gesch. d. griech. Et. 263, 9 **19** Vgl. Sui. **20. 21** Hes. Ἀμμαμηθάδες (hiernach zu verbessern, vgl. Hes. Ἀμιθάς, cod. Ἄμιθα) **22** Vgl. Hes. Ἁμαμηλίς und das ῥητορικόν des Symeon a. a. O. 263, 11 **23** Sui. **26** aus Harp. (vgl. Hes.) **27** Atticist, vgl. Eust. 913, 50 (οἱ παλαιοί)

---

1 ἀκώμητος *b* (?) 7 Lies πόλις σοί γ' ἐστ' Ἀμ. κ. εὖξαι μόνον καὶ πᾶν 10 ἀμαλθεία *b* 13 Lies ἀσθενῆ, Eurip. Herakleid. 75 14 Ἀμάλλιον *b* verb. aus Symeon und dem Fragment 14 ὀρόδεσμον *b* 15 τρεφόμενον *b* 16 ἅμαλλον *b* 18 παιδίταις *b* ἀμαλλίῳ *b* 20. 21 κεκομμένον *b* 23 ἕλκει] ἐλ^αυ^ει d. h. ἐλαύνει *b* 27 Ἁμαξιάδας *b*

Ἁμαξιαῖα ῥήματα· μεγάλα, ἃ φέρει ἅμαξα, οὐκ | ἄνθρωπος ἢ ὑποζύγιον. Πολύζηλος ἐν Διονύσου γοναῖς· 'ῥήματ' ἁμαξιαῖα'. ὁ δὲ Κάνθαρος ἐν Τηρεῖ 'ἁμαξιαῖα κομπάσματα' εἴρηκεν. οὐ χρήσῃ δὲ σὺ τῇ τοιαύτῃ φράσει· κωμικὰ γάρ, ἀλλ' οὐ πολιτικὰ τὰ τοιαῦτα. 92v

Ἁμαξεύς· ζευγηλάτης.

Ἁμαξιτόν· ὁδὸν δημοσίαν.

Ἆμαρ· ἦμαρ, ἡμέρα.

<Ἀ>μάραι· αἱ ἐν τῷ ὠτὶ κοιλότητες.

Ἀμάρακος· γένος τι μύρου, ἀπὸ φυτοῦ ὁμωνύμως καλουμένου.

Ἀμάραντον· φυτὸν θαμνῶδες, ἐξ οὗ τοῦ ἄνθους οἱ στέφανοι.

Ἀμαρεῖν· ἀκολουθεῖν, πείθεσθαι.

Ἀμάρην· ὀχετόν, τάφρον.

Ἀμάρῃσι· πόροις.

Ἀμάρη· ἡ ὑδρορροή, διὰ τὸ τὰ ἐν αὐτῇ ὄντα φυτὰ <ἀ>μάραντα εἶναι. ἢ παρὰ τὸ ἅμα καὶ ἴσως καὶ ὁμαλῶς ῥεῖν.

Ἀμαρία· παραγώγως ἀντὶ τοῦ ὁμοῦ.

Ἀμαρυγή· λαμπηδών.

Ἀμάρυγμα· φόρημα, εἴδωλον, κίνησιν, λαμπηδόνα. οἳ δέ αἴθυγμα, ὅ ἐστι σκίασμα, ἢ ὁμοίωμα, ἢ κίνημα.

Ἀμαρύσσει· στίλβει, λάμπει.

Ἀμαρυγάς· ὄψεις. οἳ δέ ἀκτῖνας ὄψεως.

Ἀμαρύσια· ἑορτὴ Ἀθήνησιν.

Ἀμαρυστεῖν καὶ Ἀμαρύζειν· καὶ Ἀττικοὶ καὶ Ἴωνες διχῶς καὶ Ἀμφάσειν καὶ Ἀφανίζειν.

Ἀμαρτυρήτως· ἀμαρτύρως. οὕτως Ἀντιφῶν.

Ἄμαρτυς· Ἀγάθων εἴρηκεν· 'ἀλλ' οὐκ ἄμαρτυς ἡ χάρις δοθήσεται'.

1—4 aus Phrynichos (Bek. 24, 32, wo ῥήματα zu schreiben, vgl. Meineke Fr. com. IV p. 663) **5** Hes. **6** B 386, 21 A Sui. **7** Hes. **8** Vgl. Et. magn. 77, 23 **9** Hes. **10** Vgl. Hes. **11** Hes. (vgl. auch Ὁμαρτεῖν) **13** Hes. Et. magn. 77, 24 **14. 15** Hes., vgl. Eust. 1235, 56 u. Lex. Αἱμωδεῖν 621, 16 **16** Hes. (ebenso Methodios Et. gen.) **17** B 386, 22 A Sui. **18. 19** Zwei Teile: 1) bis λαμπηδόνα A; beide vereint B 386, 24 (die Worte nach οἳ δέ durch Zufall verloren) und Sui. der aus der ebenso verstümmelten Glosse etwas neues macht. **20** Hes. **21** B 386, 23 A Sui. **22** Hes., vgl. Pausan. I 31, 5 **25** Sui.

---

5 Ἀμαξεύς *b* Hes. 8 κοιλότηταις *b* 14 ὑδροράη *b* φυτὰ ὄντα *b* 16 τοῦ νῦ *b* 18 λαμπηδόνα (ό aus ώ) *b* 23. 24 Lies Ἀμαρύσσειν καὶ Ἀμαρύζειν (vgl. Zonaras 158) καὶ Ἀφάσσειν καὶ Ἀφάζειν (vgl. Hes. u. d. W.) 25 ἀντιφάνης Sui. (fr. 311)

Ἁμαρτεῖν (Soph. Phil. 231)· ἀποτυχεῖν.

Ἁμαρτίαν· οἱ Αττικοί, Ἁμαρτάδα Ἡρόδοτος (I 91) καὶ οἱ ἄλλοι Ἴωνες.

Ἁμαρτωλῶς· ἐπιρρηματικῶς. Εὔπολις.

Ἁμαρτωλία· Ἀριστοφάνης (Pa. 415).

Ἁμαρτωλή· Φρύνιχος. καὶ Σοφοκλῆς Ἁμαρτάς.

Ἁμαρτάδας· Αἰσχύλος καὶ Ἁμάρτια Πλάτων (Kom.).

Ἁματροχιά· ὁ τύπος τῶν τροχῶν· καίτοι τινὲς παρ' Ὁμήρῳ (Ψ 422) τὰς συμπτώσεις τῶν τροχῶν ἀκούουσιν.

Ἀμαυρά· σκοτεινά, ὅθεν καὶ ἀμαυρόν, τὸ μὴ διαφανές.

Ἀμαυρόβιοι· Ἀριστοφάνης (Aves 685) ἔφη, καὶ ἀμαυροῦν Ξενοφῶν (Kyn. 5, 4), καὶ ἀμαυροῦσθαι Φίλιστος. ἀμαυρὸν δὲ Ὅμηρος (δ 824)· 'εἴδωλον ἀμαυρόν'. οὕτως καὶ Μένανδρος.

Ἀμαυρός· θηλυκῶς. Πλάτων Ἑλλάδι· 'αὐτὴ δ' ἀμαυρὸς ἀσθενής τ' ἐγιγνόμην'. Εὐριπίδης δὲ 'ἀμαυρὰ γλῶσσα'.

Ἀμαυροῖς· Ἀριστοφάνης· 'σαυτὸν δ' ἀμαυροῖς, ὥστε λήσει⟨ς⟩ τῷ χρόνῳ'.

Ἄμαχον ⟨κακόν⟩· τὸ καθ' ὑπερβολὴν κακόν, πρὸς ὃ οὐδὲ μαχέσασθαι ἔνι. δυσκαταμάχητον. Πίνδαρος (Ol. 13, 13)· 'ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.'

Ἄμαχον πνῖγος· τὸ ὑπερβάλλον κατὰ τὴν ἰσχύν, ὡς μηδὲ μαχέσασθαι πρὸς αὐτό. οὕτω Κρατῖνος. ἐρεῖς δὲ καὶ ἄμαχον πρᾶγμα καὶ ἄμαχος χειμών.

Ἄμαχος· ἀντὶ τοῦ μὴ μαχόμενος. Ξενοφῶν (Hell. IV 4, 9. Cyr. **93r** IV 1, 16). καὶ ἀμάχητοι (Cyr. VI 4, 14) | οἱ μήπω μεμαχημένοι.

Ἀμαχί· Ξενοφῶν (Anab. I 7, 9)· 'οὐκ ἀμαχὶ ταῦτα ἐγὼ λήψομαι'. καὶ Θουκυδίδης α' (143).

---

1 Sui., vgl. Hes. **2. 3** Sui., vgl. Hes. Ἁμαρτάδας **5** Vgl. Antiattic. 79, 3 **7** Sui. Hes. **8. 9** Et. gen. (nach Schol. Il.) ἁρματροχία δέ ἐστιν ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ (ohne Quellenangabe). **10** B 386, 26 A Sui. **14. 15** Zitiert war von Eur. wohl Andr. 204 αὐτή τ' ἀμαυρά, hierauf aus anderem Dichter ἀμ. γλ., vgl. Hes. Ἀμαυρῇ γλώσσῃ. Vielleicht Phrynichos, vgl. oben Note zu 65, 4 **21—23** aus Phrynichos (Fortsetzung) ἄμαχον πρᾶγμα wohl Menander fr. 403, 6 **24. 25** Sui.

---

7 ἁμάρτημον *b* (ἁμάρτημα ist zu bekannt, um hier ausgeführt zu werden) 8 Ἁματροχία *b* Lies Ἁρματροχιά 15 ἐγενόμην *b* 21 ὑπερβάλον *b* 22 ἐρεῖσθαι δὲ *b*

Ἀμαχητί· Ἡρόδοτος (IX 2)· 'ὅπως ἀμαχητὶ πᾶσαν Ἑλλάδα καταστρέψεται'.

Ἀμάχετοι· Σοφοκλῆς· 'ἀμάχετοι λοχαγοί'.

Ἄμαχοι· οἱ μὴ μαχεσάμενοι.

Ἀμάχαιρος· Φερεκράτης (fr. 82)· 'ἀμάχαιρος ἐπὶ βόεια νοστήσω κρέα'.

Ἀμβλίσκουσιν· ἀποβάλλουσιν.

Ἀμβλύς· ὁ μὴ ὀξύς, ἀλλὰ σκοτεινός. καὶ ἀμβλύτερος Θουκυδίδης (z. B. II 65).

Ἀμβλυώττειν· τυφλώττειν.

Ἀμβλωθρίδια· ἐκτρώματα. τὰ ἐξημβλωμένα ἔμβρυα.

Ἀμβλῶσαι καὶ ἐξαμβλῶσαι· τὸ φθεῖραι βρέφος. καὶ Ἀμβλωθρίδιον· αὐτό τε τὸ φθόριον φάρμακον καὶ δὴ καὶ τὸ διαφθαρέν.

Ἄμβλωσις καὶ Ἀμβλωθέντες· Λυσίας (fr. 24 S.). καὶ Ἀμβλουχία Σοφοκλῆς καὶ Ἄμβλωμα Ἀντιφῶν (fr. 148 Bl.).

Ἀμβλωπός· Εὐριπίδης Ἀνδρομέδᾳ· 'ἀμβλωπὸς ὄψις'. καὶ ἐν Θησεῖ· 'καὐτῷ δ' ἔπεισι νυκτὸς ἀμβλωπὸν σέλας'. καὶ ἀμβλῶπας ὁ αὐτὸς ἐν Θυέστῃ· 'ἀμβλῶπας αὐγὰς ὀμμάτων ἔχεις σέθεν'. καὶ Ἴων καὶ Σοφοκλῆς καὶ Πλάτων.

Ἀμβλυφαεῖ· Σοφοκλῆς Τυνδάρεῳ· 'ἀμβλυφαεῖ δ' ὄμμ' ὑπὸ γήρως'.

Ἀμβλυδερκές· Νικόμαχος Ἀλεξάνδρῳ· 'Διὸς γὰρ οὐκ ἀμβλυδερκὲς ὄμμα'.

Ἀμβλὺς ὄρθρος· Ἴων· 'νῦν δ' ἐγγὺς ἠοῦς ἡνίκ' οὐδέπω φάος οὐδ' ἀμβλὺς ὄρθρος'.

Ἀμβρακοῦ καὶ Ἀπαμβρακοῦ. Πλάτων Λαΐῳ· 'ἀπαμβρακοῦ καὶ μὴ προδῷς σαυτήν', ἀντὶ τοῦ καρτέρει, ἀνδρίζου. τικτούσῃ δὲ παρακελεύεται.

Ἀμβρόσιον· θεῖον, ἢ ἀθάνατον. ἢ θαυμαστόν.

Ἄμβροτα· θεῖα, ἄφθαρτα.

---

7 B 386, 29 A, vgl. Sui. **8. 9** Zwei Teile: 1) bis σκοτεινός A Sui., vgl. B 386, 30 **10** Vgl. B 386, 31 A Sui. Hes. **11** B 386, 32 A Sui. Hes. **12. 13** Sui. **14. 15** Vgl. Pollux II 7 **26—28** Vgl. unten S. 155, 25 (B 418, 8 Hes. Ἀπαμβρακοῦ) **29** B 386, 33 A Sui. **30** B 387, 1 A Sui., vgl. Hes.

---

11 Αξμβρυα *b* (A rot) 17. 18 ἀμβλωπὰς (beidemal) *b* vgl. ἀμβλῶπες αὐγαί Rhesos 737 25 οὔτ' *b* verb. E. Schwartz 26 λαῖα *b* ἀπαμπρακοῦ *b*



'Αμβρακία· πόλις ἐν τῷ 'Αμβρακικῷ κόλπῳ, ἄποικος Κορίνθου.

῎Αμβρυττοι καὶ 'Αμβρύττιοι ἐχῖνοι· οἳ δὲ πέτρας ἀπέδοσαν, ἐφ' ὧν φυκία πέφυκεν ἐπιπολῆς. Εὐριπίδου δὲ εἰπόντος· 'βρυττὸς(?) μέγας' τινὲς τὴν τελευταίαν διὰ τοῦ η̅ γράφουσιν, οὐκ ὀρθῶς, ⟨ὡς⟩ μαρτυρεῖ 'Ηρῳδιανός. 'Αριστοτέλης δὲ ἐν τοῖς περὶ Ζῴων (Ζ. ἱστ. IV p. 530a 34) πλείω γένη φησὶ τῶν ἐχίνων, ἓν μὲν τὸ ἐσθιόμενον, ἐν ᾧ τὰ λεγόμενα ᾠὰ μεγάλα γίνεται καὶ ἐδώδιμα ὁμοίως ἐν μείζονι καὶ ἐλάττονι· καὶ γὰρ εὐθὺς ἔτι μικροὶ ὄντες ἔχουσι ταῦτα. ἄλλα δὲ δύο γένη τό τε τῶν σπατάγγων καὶ τῶν καλουμένων ἀμβρύττων. γίνονται δὲ οὗτοι πελάγιοι καὶ σπάνιοι. φησὶ δὲ ὁ 'Ηρῳδιανὸς ὅτι 'Αριστοτέλης καὶ διὰ τοῦ σ̅ καὶ δισυλλάβως τὴν λέξιν προφέρεται· βρυσσοὺς γὰρ αὐτοὺς λέγει.

῎Αμβωνες· τὰ χείλη τῶν λοπάδων, καὶ οἱ λόφοι τῶν ὀρῶν καὶ ἡ ἴτυς πᾶσα καὶ οἷον ὀφρὺς καὶ ὑπεροχή. 'Αριστοφάνης ὁ κωμικός (Eup. fr. 52 K.)· 'ἀλλ' ὦ πολλῶν ἤδη λοπάδων τοὺς ἄμβωνας περιλείξας'. καὶ οἱ ὀρεινοὶ τόποι καὶ αἱ προσαναβάσεις.

'Αμέθυστον· οὐδετέρως Θεόφραστος ἐν τῷ περὶ λίθων (fr. 2, 31)· 'τὸ δ' ἀμέθυστον οἰνωπὸν τὴν χρόαν'.

'Αμείβεσθαι· ἀποκρίνεσθαι. μεταβάλλεσθαι.

'Αμείβεται· ἀντὶ ⟨τοῦ⟩ παραιτεῖται. Εὐριπίδης (fr. 156).

93v 'Αμείβων | ἀλλάσσων.

'Αμείβεται· ἀντικελεύεται. Δίδυμος.

'Αμειδές· στυγνόν, σκυθρωπόν.

'Αμείλικτος· ἀπάνθρωπος. ἀπηνής.

'Αμείλιχος· σκληρός, ἀκολάκευτος.

'Αμέλει· τοιγαροῦν. δηλαδή, πάντως· ἐπίρρημα γάρ ἐστι συγκατάθεσιν δηλοῦν.

---

1 Sui. aus Harp. **2—12** aus Herodians Symp. (vgl. Athen. III 91 b Hes.) **13—16** Zwei Teile: 1) bis περιλείξας aus Aelius Dion. (Eust. 1636, 50 Schwabe p. 106, vgl. Erotian p. 52 K.); 2) vgl. Hes. Zum Ganzen vgl. Methodios Et. gen. **19** Zwei Teile: 1) bis ἀποκρίνεσθαι B 387, 2 A; beide vereinigt Sui. **20** Hes. **21** B 387, 3 A Sui. Hes. **22** Neues Fragment **23** B 387, 4 Sui., vgl. Hes. **24** Zwei Glossen B 387, 5. 6 A Sui., vgl. Hes. **25** B 387, 7 A Sui. **26. 27** Zwei Teile: 1) bis τοιγαροῦν B 387, 11 A Sui.

---

3 ἐφ' ᾧ *b* Lies βρυσσὸς 6 γένει *b* 9 πατάγων *b* βρύσσων codd. Ar. (oder βυρσσῶν, βυρσῶν) 11 δισσυλλάβως *b* 15 περιλίξας *b* 16 προσβάσεις *b* 18 τῇ χρόᾳ Edd. Theophr.

Ἀμελλητί· ἀνυπερθέτως, ταχέως.

Ἀμελία καὶ ἀμέλεια· ἀμφότερα Ἑλληνικά· καὶ γὰρ καὶ διὰ τοῦ ῑ γράφεται καὶ διὰ τῆς ει διφθόγγου.

Ἀμειψόμεθα· ἀνταποδώσομεν.

Ἀμέργειν· καρπολογεῖν. Ἀριστοφάνης Νήσοις· ʻὁ μέν τις ἀμπέλους τρυγῶν ἄν, ὁ δʼ ἀμέργων ἐλάας'.

Ἀμήρυτον· πολύ, ἐκτεταμένον, ἀτέλεστον, τουτέστι διηνεκῶς ἐπιμένον, ἀπέραντον.

Ἀμηγέπη· ὅπως δήποτε, καθοτιοῦν. λέγεται δὲ καὶ ἀμωσγέπως καὶ ἀμόθεν καὶ ⟨ἀ⟩μηγέπου καὶ ⟨ἀ⟩μηγέποι καὶ ἀμωσγέποι.

Ἀμήσαντες· θερίσαντες. ἢ ἁπλῶς ἀντὶ τοῦ ἀποτεμόντες.

Ἀμητῆρες· θερισταί.

Ἀμητός· αὐτὰ τὰ τεθερισμένα ὀξυτόνως. προπαροξυτόνως δὲ ὁ καιρὸς τοῦ θερισμοῦ, ὡς καὶ τρύγητος ὁ καιρὸς τοῦ τρυγᾶν.

Ἀμηχανία· ἀπορία.

Ἀμήχανον· ὑπὲρ λόγον.

Ἄμης· γένος πλακοῦντος.

Ἀμήτορος· Εὐριπίδης· ʻἌφιδνε Γαίας υἱὲ τῆς ἀμήτορος', οἷον τῆς αὐτόχθονος.

Ἁμίδα· δασέως. ʻτί δῆτʼ ἂν εἰ μὴ τὴν ἁμίδα καθεῦδʼ ἔχων' Εὔπολις Αὐτολύκῳ. καὶ ὁ Ἀριστοφάνης· ʻκατεσκέδασέ μου τὴν ἁμίδα κεχηνότος'. λέγουσι δὲ καὶ ἅμαξαν δασέως καὶ καθημαξευμένα, καὶ ὅλως τῇ δασείᾳ προσῳδίᾳ χαίρουσιν οἱ Ἀττικοί. καὶ παρὰ Μενάνδρῳ ⟦ὡς⟧ λέγεται ἐν τῇ Θετταλῇ διὰ τοῦ θ ἡ συναλοιφὴ αὕτη· ʻἑκκαίδεκα κεῖνθʼ ἁμίδες'. καὶ τὸ ἁμάξιον οὕτως λέγουσι θαμάξιον, καὶ ʻ⟨οὐκ⟩ ἀναβεβήκει πώποτε ἐφʼ ἅμαξαν, ἀλλʼ ἐφʼ ἵππον'. Νικόστρατος ἐν Παρακολυμβώσῃ.

1 B 387, 12 A Sui., vgl. Hes. **2. 3** Sui. **4** Sui. Hes. **5. 6** aus Pausanias (Eust. 838, 55) **7. 8** B 387, 18 A Sui. **9. 10** B 387, 16 A Sui. Schol. Plat. Soph. 259d, vgl. unten S. 93, 7 u. 105, 22 **11** Zwei Teile: 1) bis θερίσαντες; 2) B 387, 20 A Sui. **12** B 387, 21 A Sui. Hes. **13. 14** B 387, 22 A Sui., vgl. Hes. **15** B 387, 25 A Sui., vgl. Et. magn. 83, 31 **16** B 387, 26 A Sui. **17** Vgl. Sui. Ἄμητα Athen. XIV 644 f. **20—27** aus Aelius Dion. vgl. Eust. ὅθεν καὶ τὸ καθημαξευμένως, ὥς φησιν Αἴλιος Διονύσιος καὶ θαμάξιον τὸ ἁμάξιον· χαίρουσι γάρ, φησί, τῇ δασείᾳ οἱ Ἀττικοί vgl. oben S. 81, 5. 6 u. Eust. 1636, 27 καὶ γὰρ τὸ ἀλεαίνειν δασύνουσιν Ἀττικοὶ ὡς καὶ τὸ ἁμὶς καὶ ἅμαξα καὶ ἀμνός.

1 Ἀμελητί *b* 4 ἀνταποδόσομεν *b* 6 ἀμπέλου *b* 10 Lies ἀμουγέπου καὶ ἀμοιγέποι 13 τὰ θερίσματα *b* 22 κατημαξευμένα *b* 24 ἐν τῷ θέτῃ *b* συναλειφὴ *b* 25 ἐκκαίδεκάκινθʼ *b* 26 πώποτʼ *b*, verb. E. Schwartz ἵππων *b*

Ἁμίδας· τὰ ὑπηρέσια. ἰδίως δὲ Δημοσθένης (54, 4) τὰ σταμνίσκια, οἷς ἐνούρουν. λέγεται δὲ ἁμὶς καὶ ἡ χύτρα καὶ οὐχ ὁ ἵπνος, ἀλλὰ πλακοῦντος γένος. Μένανδρος Ὑποβολιμαίῳ (fr. 491)· ʻτὸν ἄμιτα Χαρίππου κατὰ ἄδην πέμπει τινὰ ἄμιτα ἐν ἅδου προσδοκᾷς.ʼ ἔστι καὶ παρὰ τοῖς παλαιοῖς τὸ ὄνομα κωμικοῖς.

Ἀμιθρεῖν· τὸ ἀριθμεῖν. Νικοχάρης.

Ἅμιλλα· ἀνταγώνισμα, φιλονεικία, ἐξίσωσις.

Ἁμιλλητηρίους λόγους· τοὺς ἐναγωνίους.

Ἅμιλλον· τὴν ἅμιλλαν Δωρόθεος εἴρηκεν ἀρσενικῶς. καὶ ἁμιλλοφόρος Ἀριστοφάνης.

Ἀμισόν· τὴν πόλιν ἀρσενικῶς Δίφιλος εἶπεν.|

94r Ἀμμάς· ἡ τροφὸς καὶ ἡ μήτηρ. καὶ ἡ Ῥέα, καὶ ἡ Δημήτηρ, καὶ Ἀρτέμιδος τροφός. καὶ τὰς ἀντλίας δὲ Λέσβιοι οὕτως ἔλεγον.

Ἀμμάθω· μεταμέλωμαι.

Ἀμμαλώ· ἑορτὴ παρὰ Τενεδίοις ἀγομένη Διΐ.

Ἅμματα· δεσμά.

Ἀμμωνίς· ἡ τοῦ Ἄμμωνος ἱερὰ τριήρης, ὡς Δείναρχος (fr. 14, 1 S.)

Ἀμμών· ἑορτὴ Ἀθήνησιν ἀγομένη. καὶ ὄφεις οἱ Κυρηναῖοι. καὶ Στράττις· ʻἈμμὼν ὁ κριοῦ δέρμα καὶ κέρατʼ ἔχωνʼ.

Ἅμιππον· ἵπποι ἐζευγμένοι τοῖς τραχήλοις χωρὶς δίφρου, ὃ πάλαι καὶ ξυνωρὶς ἐκαλεῖτο καὶ συνωρίς. ἦν δὲ ἐπὶ μὲν τοῦ ἑτέρου καθεζόμενος ἡνίοχος, ἐπὶ δὲ τοῦ ἑτέρου ὁπλίτης. ἀπὸ οὖν τοῦ ἅμα ἀμφοτέρους καθέζεσθαι ἐκλήθη ἅμιππον.

1—5 Zwei Glossen: 1) vgl. B 387, 27 A Sui.; 2) von πλακοῦντος γένος zum Lemma Ἄμης gehörig aus Herodians Symp. vgl. Ath. XIV 644 f. Hes. Ἄμητες **6** Hes. **7** B 387, 28 A Sui. **8** Hes. Ἀμιλτορίους (Ἁμιλλητηρίους Skaliger; schreibe ἐναγωνί⟨ους⟩) **9. 10** Dorotheos, vielleicht Verf. der von Phot. Bibl. cod. 156 erwähnten ξένως εἰρημέναι λέξεις, wird auch Et. magn. 87, 49 zitiert. **11** Vgl. Steph. Byz. **12. 13** Hes. (danach zu verb.). Diogenian erklärte zunächst das syrische Wort (vgl. z. B. Hist. Laus. p. 99, 18 Butler) und nannte dann die mit der syrischen Gottesmutter verbundenen griech. Gottheiten; dann glossographische Notizen. **14** Hes. **15** Hes. **16** B 386, 25 A Sui. **17** aus Harp. **18. 19** Hes. **20—23** aus Pausanias (Eust. 1539, 26 Schwabe p. 107), bei Sui. durch Umstellung verdorben, vgl. Hes.

---

2 ὁ ἵπνος verdorben 3 ὑποβολιμαία *b* 4 κτ ἄδην *b* Vielleicht τὸν ἄμητα, Χαίριππʼ οὐκ ἐς Ἅιδου πέμπετε; — τίνʼ ἄμητʼ ἐν Ἅιδου 6 νικόχαρις *b* 11 Ἄμισον *b* 14 Ἀμμαθῶ καταμελοῦμαι *b* 18 Ἄμμων hier *b* (wohl Ἀμμώνια) ὄφεις] ὁ Ζεὺς Albertus zu Hes. 20 δύο ἵπποι Hes. Sui. τραχείλοις *b*

῞Αμιπποι· οἱ cὺν ἵπποις στρατευόμενοι. οὕτως Ἰcαῖος (fr. 125 S.).

Ἀμογητί· ἀκόπως.

Ἀμόθεν· ἀπό τινος μέρους, ὁπόθεν θέλεις (α 10)· 'τῶν ἀμόθεν γε θεά, θύγατερ Διός, εἰπέ'. δηλοῖ δὲ καὶ τὸ μοναχὸς καὶ καθ' ἕνα τινὰ τρόπον.

Ἀμοιβή· ἀνταπόδοcιc.

Ἀμοιγέποι· εἴc τινα τόπον. ἢ ἀντὶ τοῦ καθ' ἕνα τρόπον.

Ἀμοιβαία ἔκτιcιc· ἀνταπόδοcιc ἡ ἐκ διαδοχῆc ὁμοία.

Ἀμοιβαδόν· ἐξαίφνηc. ἢ ἐφεξῆc.

Ἀμοιρῆcαι· ἀποτυχεῖν.

῎Αμοιροι· ἀμέτοχοι. ἢ κακόμοιροι.

Ἀμολγόν· cκοτεινήν.

Ἀμόργινα· παραπλήcιά ἐcτι βύccῳ.

Ἀμοργίc· κυρίωc ἡ λινοκαλάμη, ἐξ ἧc γίνονται ἐνδύματα ἀμοργίδια λεγόμενα. ἢ ἡ τοῦ ἐλαίου ὑποcτάθμη καὶ ἡ τρὺξ τοῦ οἴνου. ἔcτι δὲ cμηκτή. καὶ ἡ μᾶζα παρ' Ἡcιόδῳ (Op. 590). λέγεται δὲ ἀρcενικῶc καὶ θηλυκῶc.

Ἀμνήν θερίζειν· ὅταν γὰρ ᾖ ἀμνίον, οὐκ ἀποκείρεται. θερίζειν δὲ τὸ διάγειν τὸ θέροc ἄκαρπον ὡc τὰ ἀμνία. ἔαροc γὰρ γεννώμενα τοῦ θέρουc ἐᾶται ἄκαρπα. τίθεται οὖν ⟨ἡ⟩ παροιμία ἐπὶ τῶν χρόνῳ ὕcτερον τιμωρουμένων.

Ἀμνημυοῦντεc· οἱ ἀθυμοῦντεc.

Ἀμνηcία· ἡ ἠλιθυῖα.

Ἀμνήcτευτοc γυνή· ἡ παλλακή. Εὐριπίδηc (fr. 818).

Ἀμνίον· τὸν ὑμένα τοῦ cώματοc· τοῦτο γὰρ ⟨τὸ⟩ πρῶτον τοῦ ἐμ-

---

1 Sui. (mehr) aus Harp. (vgl. An. Ox. II 489, 4) **2** B 387, 29 A Sui. **3—5** Hes., vgl. Timaios **6** B 387, 31 A, vgl. Sui. **7** Hes. **8** B 387, 32 A Sui. **9** B 387, 30 A, vgl. Sui. Hes. **10** B 387, 33 A Sui. Hes. **11** Sui. **12** Hes. (zu Eur. fr. 104) **13** aus Harp. **14—17** Zwei Glossen: 1) bis οἴνου vgl. Sui., aus Paus. (Eust. zu Dion. Per. 525, Schwabe p. 108, vgl. Schol. Plat. Epist. 363 a); 2) aus Paus. Ἀμολγός (?) vgl. Eust. 838, 51 **18—21** Eust. 1627, 14 aus Pausanias, vgl. unten S. 94, 5. 7, vgl. Hes. Ἀμνεῖν θερ., wo die Ordnung Ἀμνήν verlangt **22** Hes. Ἀμνημύονες **23** Hes. **24** Hes. **25**— p. 94, **3** Hes., anders Schol. zu γ 444 und Methodios

---

3 τῶν] τὸν *b* 4 μοναχὸς auch Hes. für μοναχῶς 5 τόπον *b* 12 σκοτεινόν *b* 13 Ἀμόργινα aus Ἀμόργυνα *b* Ἀμοργίνα und παραπληςία Harp. E (vgl. Sui. Ἀμόργινον, anders Methodios Gesch. d. griech. Et. 28, 10) 14. 15 ἀμοργίδια auch Eust. (ΔΙ = Ν) 16 σμικτὴ *b* 18 ῎Αμνην *b* ᾖ] ἢ *b* 19. 20 ἄκαρπα für ἄκαρτα auch Eust. 23 Vielleicht Ἀμνιςία ἠλιθυῖα auch Hes. 25 Ἀμνίων *b* σώματος auch Hes.

βρύου. ἔστι δὲ ἐνδοτέρω τοῦ χορίου. λέγεται δὲ καὶ ⟨ἡ⟩ σκάφη, εἰς ἣν δέχονται τὸ αἷμα τῶν θυομένων. τινὲς δέ φασι τὸ πεπληρωμένον ἀγγεῖον θαλάσσης.

Ἀμνοὶ τοὺς τρόπους (Ar. Pa. 935)· πρᾷοι καὶ μαλακοί.

Ἀμνός· πρόβατον μέσον τὴν ἡλικίαν. καὶ ἀμνή τὸ θῆλυ. τρεῖς γὰρ ἡλικίαι· ἀρήν, ἀμνός, ἀρνειός.

Ἀμνόν· τὸν ἐνιαύσιον ἄρνα. Ἴστρος ἐν ταῖς Ἀττικαῖς (fr. 53)· ʽἄρνα, εἶτα ἀμνόν, εἶτα ἀρνειόν, εἶτα λιπογνώμονα, μοσχίαν δὲ τὸν πρῶτον.ʼ

Ἀμοργοί· τὰ κοινὰ διαμοργοῦντες καὶ λυμαινόμενοι ἄνδρες.

Ἀμόργματα· ἀρτύματα.

Ἀμοργοὶ πόλεως ὄλεθροι· οὕτως Κρατῖνος (fr. 214). καλοῦσι
94v δὲ αὐτοὺς | ⟨καὶ⟩ μοργούς, τὸ ᾱ ἀφαιροῦντες, ὥσπερ καὶ μαῦρον τὸ ἀμαυρὸν καὶ σφοδελὸν τὸ ἀσφοδελόν.

Ἀμοργίδα· ἐξεσβηκυῖαν τὸ γάλα.

Ἀμόρφωτος· ἀδιόρθωτος, ἄπλαστος, ἀσχημάτιστος.

Ἀμοχθί· ἄνευ πόνου. Αἰσχύλος Προμηθεῖ (224). συγγραφικὴ ἡ φωνή, ὥς φησιν ὁ Φρύνιχος.

Ἄμουσα· ἀτερπῆ, ἀηδῆ, ἀπαίδευτα.

Ἀμούσωτος· Σοφοκλῆς ἔφη· ʽἀμούσωτος γὰρ οὐδαμῶς ἄπει.ʼ

Ἀμπαλίνωρος· ἀναστρέφων τὴν αὐτὴν ὁδόν. Φιλέταιρος Μελεάγρῳ (fr. 11)· ʽοὐ πρὸς γυναικὸς ὁ κόρος. οἴκαδε, ὦ κόρη, ἄπιθι ἀμπαλίνωροςʼ. δοκεῖ δὲ Βοιωτιακὸν εἶναι τὸ ὄνομα. Κρατῖνος Θρᾴτταις (fr. 310)· ʽοὗτοι δʼ εἰσὶν συοβοιωτοί, ⟨κρου⟩πεζοφόρον γένος ἀνδρῶνʼ. καὶ μετʼ ὀλίγον ʽἀμπαλίνωροςʼ. σημαίνει δὲ τοῦτο καὶ τὸ ὀπίσω καὶ τὸ ὀλίγωρον καὶ τὸ παλιμπόρευτον. καὶ ὁδὸν τὴν ἐπιστροφὴν οὐκ ἔχουσαν.

---

4 Hes. (vgl. Sui.) **5. 6** Sui. Eust. 1627, 10 aus den παλαιοί (Pausanias) **7. 8** Sui., vgl. Eust. aus Pausanias (Fortsetzung) **9** aus Pausanias (?) vgl. Eust. 1608, 57 und 838, 54, vgl. unten Zeile 11 **10** Vgl. Hes. Ἄμοργμα (von Photios nachträglich eingeschoben) **11—13** Sui. aus Pausanias (Fortsetzung; vgl. Eust. 838, 55. 1608, 57. Schwabe p. 107) **14** Hes. **15** zu Soph. fr. 228, anders Hes. **16. 17** aus Phrynichos. **18** B 388, 1 A Sui. **20—26** Sui. (kürzer), anders Hes.

---

3 θαλ^ά *b* verdorben 6 ἄρρην ἀρνός *b* 8 ἀρνιόν *b* 8 τὸν α′ *b* τὸν πρῶτον Sui. (?) Lies τριετῆ. 9 διαφοροῦντες Eust. 838, 55 14 ἐξεσβικυῖα Hes. ἐξησύηκυῖα *b* (vielleicht ἀμοργίδα, für θρυαλλίδα, ἐξεσβηκυῖαν· τὸ γάλα ἀπολωλεκυῖαν) 19 ἀπεῖ *b* 20 Ἀμπαλίνορρος Blomfield 21 οὐκ οἶδα ὦ *b* 22 ἄπειθι *b* 23 εἰσὶ συβοιωτοὶ πεζοφόρων *b*

Ἀμπεχόμενος· περιβαλλόμενος.

Ἀμπεχόνη· ἄμφιον, ἱμάτιον, παλλίον.

Ἀμπέλια· ἀρσενικῶς καὶ οὐδετέρως λέγουσιν.

Ἀμπελουργός καὶ Ἀμπελουργεῖν. Ἀριστοφάνης (Ra. 190).

Ἀμπέχονον· σύμμετρον καὶ λεπτὸν περίβλημα, ὡς Ἀριστοφάνης (fr. 320, 7).

Ἀμπέχει καὶ ἅπτει· διὰ τῆς ει λέγουσιν ἀντὶ τῆς η̄.

Ἀμπλακίαις· ἁμαρτίαις.

Ἀμπρεύειν· ὡς ἡμεῖς τὸ πολλοῖς ζεύγεσιν ἓν μέρος ἕλκειν. Ἀριστοφάνης Λυσιστράτῃ (286)· 'ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ λοιπόν ἐστι χωρίον τὸ πρὸς πόλιν, τὸ σιμόν, οἷ σπουδὴν ἔχω· ⟨χὤ⟩πως πότ' ἐξαμπρεύσομεν τοῦτ' ἄνευ κανθηλίου'.

Ἀμπρευτής· χρήσιμος ἡ φωνή. Σοφοκλῆς· 'ὥσπερ ἀμπρευτὴς ὄνος ἀεὶ μαστιγούμενος'.

Ἀμπρεύοντι· Εὐριπίδης Πρωτεσιλάῳ· 'ἕπου δὲ μοῦνον ἀμπρεύοντί μοι'. ἀντὶ τοῦ προηγουμένῳ καὶ ὁδηγοῦντί σε καὶ οἷον ἕλκοντι.

Ἄμπρον· ᾧ ἐχρῶντο ἀντὶ τοῦ ῥυμοῦ σχοινίῳ μέσον τεταμένῳ τῶν ἑλκόντων ζυγῶν.

Ἄμπυκας· χαλινούς.

Ἄμπυξ· δεσμὸς τριχῶν. ἢ κόσμος κεφαλῆς.

Ἄμπυκες· διάδημα. ἢ τροχοὶ κατὰ μεταφοράν.

Ἀμπυκοῖς καὶ καταμπυκοῖς· Σοφοκλῆς Μελεάγρῳ· 'στεφάνοισι κρᾶτα καταμπυκοῖς.' ὁ αὐτὸς δὲ καὶ ἀμπυκώμασιν.

Ἄμπωτις· ξηρασία ἢ πλημμύρα. Ἀττικοὶ δὲ ἀνάπωσιν μᾶλλον λέγουσιν. ἰδίως δὲ ⟦αὐ⟧τὰ περὶ τὰ παρὰ τῇ θαλάσσῃ στενὰ συμβαίνοντα πάθη ἀμπώτιδες, οἷον αἱ τοῦ ῥοθίου ὑποχωρήσεις καὶ ἐπικλύσεις.

---

1 B 388, 2 A Sui. Hes. 2 B 388, 3 A Sui. 3 Vgl. Hes. Ἀμπέλιοι ἀμπέλια (so zu schreiben) 4 aus Phrynichos (? vgl. Bek. 29, 17) 5. 6 Hes. 8 B 388, 5 A Sui. Et. gen. (ohne Quellenangabe) 9—12 Atticist., wohl aus Phrynichos (?), anders Sui. 13. 14 aus Phrynichos (φωνή) 18. 19 Hes. Eust. 623, 38 20 B 388, 6 A Sui. 21 B 388, 7 A Sui. 22 Vgl. Hes., aus Pausanias (Eust. 1280, 57 Schwabe p. 109) 25—27 Zwei Teile: 1) bis πλημμύρα B 388, 8 A Sui.; 2) attizistisch

---

2 Απαλλίον *b* (A rot) 16 οἷον] οἶνον *b* 18 σχοινίον *b* verb. E. Schwartz 23 Ἀμπύκοις und καταμπύκοις (beidemal) *b* στέφανουσι *b* 26 δὲ αὐτὰ τὰ περὶ τῇ θαλά Αστενὰ (A rot) *b*

Ἄμπωτις· καὶ ἡ ἀνάπωσις.

95r Ἀμυδρά· ἀφανῆ, | σκοτεινά.

Ἀμυδρῶς· λεπτῶς, ἀσαφῶς, σκοτεινῶς.

Ἀμύητος· ἄπειρος, ἀτέλεστος.

Ἀμύμων· ἄψογος, ἄμεμπτος.

Ἄμυνα· καὶ ἐπὶ ἀμοιβῆς καὶ ἐπὶ εἰσπράξεως δίκης. ἣ ὡς ἐν τῇ συνηθείᾳ λέγομεν, οὐδέπω εὕρομεν παρὰ τοῖς ἀρχαίοις, τὸ δὲ χειμάμυνα παρὰ πολλοῖς.

Ἀμυνάθειν καὶ ⟨Ἀ⟩μυνάθετε· Ἀριστοφάνης (Nub. 1323) καὶ ἕτεροι (z. B. Soph. Oed. C. 1015).

Ἀμυδροῦνται· ἐλαττοῦνται.

Ἀμυδροῦται τὰ πράγματα· ἀντὶ τοῦ εἰς κατόπιν ἥκει, μειόνως ἔχει.

Ἀμυνίας· ὁ ἕτοιμος ἀμύνεσθαι.

Ἀμυντρόν καὶ Ἀμυνάνδρως· Αἰσχύλος, Ἀμύνανδρον δὲ Σοφοκλῆς.

Ἀμύνεσθαι· Θουκυδίδης (I 42) ἀντὶ τοῦ ⟨ἀ⟩μείβεσθαι, Σιμωνίδης (fr. 229 B[4]) δὲ ἀντὶ τοῦ χάριτας ἀποδιδόναι, Σοφοκλῆς (Oed. C. 872?) δὲ ἀντὶ τοῦ ἐπαλεξῆσαι.

Ἀμύντης καὶ Ἀλκήστης· στρατηγικὰ καὶ αἰσχυληρὰ τὰ ὀνόματα.

Ἀμύναιντο· Κρατῖνος (fr. 171).

Ἀμύντωρ· βοηθός.

Ἀμύξ· ἀντὶ τοῦ μόλις. Εὐφορίων.

Ἄμυξις· σπάραξις.

Ἄμυρις μαίνεται· θεωρὸς ὑπὸ Συβαριτῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν Συβαριτῶν ἔσεσθαι τότε, ὅταν ἀνθρώπους θεῶν προτιμήσωσι, θεασάμενος δοῦλον

---

2 B 388, 9 A Sui. **3** A Sui. **4** B 388, 11 A Sui. **5** B 388, 12 A Sui. **6—8** Zwei Teile: 1) bis δίκης Sui. aus Timaios; 2) Phrynichos (? ἄμυνα = βοήθεια vgl. Herodian Philetairos bei Cohn Rhein. Mus. 43, 413) **9. 10** Vgl. Hes. **14** Sui., vgl. Schol. Arist. Equ. 573 **17—19** Sui. **20** Sui., aus Phrynichos, vgl. Apparat **21** Sui. (mehr) **22** B 388, 13 A Sui. Hes. **24** B 388, 14 A Sui. **25—27** Sui. (Teil 2) aus Pausanias (Eust. 298, 4, Schwabe 171)

---

2 Ασκοτεινά *b* (A rot) 6 δίκη *b* ἣ wohl erst von *b* statt des wiederholten Lemmas eingesetzt 9 Ἀμυνάθεται *b* 20 Lies Ἀμυντής καὶ ἀλκηστής (Dindorf im Thes.) τραγικὰ καὶ σκληρά (die Schreiber dachten bei ὀνόματα an Eigennamen) vgl. S. 12, 10 24 Lies Ἀμύξεις· σπαράξεις vgl. Hes. (Il. A 243) 26 ἀπῶ *b*

πρὸς ἱερῷ μαστιγούμενον καὶ προσφυγόντα τῷ ἱερῷ [[καὶ]] μὴ ἀπολυόμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρὸς μνῆμα καταφυγόντα ἀπολυθῆναι καὶ συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὰ ἴδια ἀπῆρεν εἰς Πελοπόννησον. ὃ οὖν λογισμῷ πεποίηκεν Ἄμυρις, τοῦτο εἰς μανίαν Συβαρῖται μετέτρεψαν. ὁ δὲ τῷ χρόνῳ μᾶλλον διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη.

⟨Ἄ⟩μυροι· Σοφοκλῆς Ποιμέσιν 'ἀμύρους τόπους' ἐπιθετικῶς αὐτῷ ἐχρήσατο, ὡς Ἡρῳδιανός.

Ἀμύσσει· ξέσει, σπαράξει.

Ἀμυστὶ πιεῖν· οὕτως Φερεκράτης (fr. 202) ἐπιρρηματικῶς. λέγεται δὲ ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων, οἱονεὶ μηδὲ μυσάντων. τοῦ αὐτοῦ ἔχεται καὶ τὸ ἐξαμυστίσαι. λέγεται δὲ καὶ ἀμυστίζειν καὶ τὰ ἐξ αὐτοῦ.

Ἄμυστις· ἡ ἀπνευστὶ γινομένη πόσις.

⟨Ἀ⟩μυσχῆναι· καθᾶραι, ἁγνίσαι.

Ἀμύττεται· τοῖς ὄνυξι ξέει ...

Ἀμυσχρόν· καθαρόν, ἁγνόν, ἀλλόχροον.

Ἀμυχή· ἐπιπόλαιον ἕλκος.

Ἀμυχρόν· τὸ μὴ μυσαρόν, ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτως Σοφοκλῆς (fr. 909).

Ἀμύλους· καὶ τὸν ἄμυλον ἀρσενικῶς λέγουσι. ⟨Τηλεκλείδης⟩ (fr. 32)· 'χαίρω λαγῴοις ἐπ' ἀμύλῳ καθημένοις.' Στράττις Καλλιππίδῃ· 'δὸς νῦν τὸν ἄμυλον πρῶτον αὐτῷ τουτονί'. Ἀριστοφάνης Νήσοις· 'ἄμυλος, τάριχος, πυός, ἰσχάδες, φακῆ.'

Ἀμυγδαλῆ· περι|σπᾶται τὸ δένδρον, Ἀμυγδάλη δὲ ὁ καρπὸς **95v** παροξυτονεῖται. Εὔπολις Πόλεσιν· 'ὤφειλ' Ὑάκινθος ἀποθανεῖν ἀμυγδαλῇ'. ἀμύγδαλα δὲ ὡς ἡμεῖς τὸν καρπὸν καὶ Ἕρμιππος Φορμοφόροις (fr. 63, 20 vgl. Bek. A. G. 82, 19) καὶ Φιλήμων ἐν Μύ-

---

6. 7 Vgl. Herod. I 199, 18 L., vgl. Hes. Ἄμυροι **8** B 388, 15 A **9—12** Sui., vgl. Ath. XI 783d **13** Sui., vgl. Hes. **14** Hes. **16** Hes. **17** B 386, 16 A Sui. Hes. **18. 19** Sui. **20—23** aus Herodians Symposion, vgl. Athen. XIV 648 e Hes. (vgl. Nachr. d. Kgl. Ges. d. Wiss. Gött. 1906 S. 44) **24**— p. 98, **2** aus Herodians Symposion, vgl. Athen. II 53 f (aus Pamphilos) Hes.

---

8 ξέει σπαράσσει A B richtig 9 ποιεῖν *b* φερεκράτης οὕτως (so) *b* am Rand (vgl. Sui. am Ende) 11 καὶ τοῦ *b* 15 nach ξέει Rasur dreier Buchstaben, deren mittelster γ oder χ war (vielleicht Ἀμύττετε ... ξέετε vgl. Hes. Ἀμυττέτωσαν) 16 ὁλόχροον Hes. vielleicht richtig 17 ἐπιπόλεον *b* 18 Lies Ἀμυσχρόν 21 καὶ ῥωγαλέοις *b* ἐπ' ἀμύλων *b* καλλιπίδη *b* 23 Ανήσοις *b* (A rot) ποιός *b* 25 ὀφεῖλεν *b* 25 wohl ⟨ὑπ'⟩ ἀμυγδαλῇ (ἀμυγδάλῃ E. Schwartz)

cτιδι καὶ Δίφιλος Τελεcίᾳ (fr. 79)· ‘τρωγάλια, μυρτίδεc, πλακοῦc, ἀμύγδαλα’.

Ἄμυδις· ἅμα, κατὰ τὸ αὐτό.

Ἀμυκλᾷδες· ὑποδημάτων εἶδοc. προcγράφεται μὲν τὸ ῑ, οὐ μὴν καὶ cυνεκφωνεῖται. κέκληται δὲ ἀπὸ τῶν ἐν Λακεδαίμονι Ἀμυκλῶν, ὡc ἐκεῖ καταcκευαζομένου τοῦ τοιούτου ὑποδήματοc. οὕτωc Ἀριστοφάνης καὶ Φρύνιχος.

Ἀμυλιδωτόν· χιτωνίcκου τι γένοc καλοῦcιν. Ἕρμιππος Θεοῖς.

Ἀμφαξονεῖν· τὸ μὴ ἐπ’ εὐθείαc πορεύεcθαι.

Ἀμφαρίστερος· ἀμφοτέρωθεν ⟨ἀριcτερόc⟩. οὐκ αἴcιοc οὐδὲ ἐπιτήδειοc. cκωπτικὴ δὲ ἡ φωνή, ὡc φηcι Φρύνιχος.

Ἀμφ’ αὐτούς· περὶ αὐτούc.

Ἀμφαδόν· Ἴων Φοίνικι· ‘ὡc ἀμφαδὸν πέπραγα πανταχῇ καλῶc’. τοῦτο καὶ ἀναφανδὸν ἔλεγον.

Ἀμφέξομαι· τὸ ἀμφιέcομαι. Φερεκράτης Μυρμηκανθώποις.

Ἀμφέμενον· τὸν ἐν μάχαιc καὶ λοιδορίαιc πρῶτον ὑπείξαντα κατὰ μεγαλοψυχίαν καὶ ἀφιλόνεικον οὕτωc ἐκάλουν Λακεδαιμόνιοι.

Ἄμφηκες· ἀμφοτέρωθεν ἠκονημένον.

Ἀμφηρεφές· ἀμφοτέρωθεν ἐcτεγαcμένον. ἢ κατάcκιον.

Ἀμφήρικον· μικρὸν ⟨ἀ⟩κάτιον, ἐν ᾧ ἐπελαύνει τὰc δύο κώπαc. ἔcτι δ’ ἐν δ′ Θουκυδίδου (67) τὸ ὄνομα.

Ἀμφήριστον· ἄνιcον, ἀμφίβολον.

Ἀμφηγάπαζες· Κάνθαρος Τηρεῖ· ‘καὶ πρότερον οὖcα παρθένοc αὐτὸν ἀμφηγάπαζεc’.

Ἀμφί· περί. ἐξ ἑκατέρου μέρουc.

---

3 Vgl. Hes. 4—7 Vgl. Hes. Phrynichos vielleicht der Grammatiker vgl. unten S. 104, 18 8 Vgl. Hes. 9 Atticist. vgl. Eust. 918, 63 (Schwabe p. 109 anders Phryn. Bek. 23, 30) 10. 11 aus Phrynichos (vgl. Bek. 3, 20) vgl. Hes. (zu Arist. fr. 512) Et. magn. 89, 25 12 B 388, 17 A Sui. 16. 17 Hes. Ἀφέμενον 18 B 388, 18 A Sui. 19 B 388, 19 A Sui. 20. 21 Vgl. Sui. Hes. 22 B 388, 20 A Sui. 23. 24 Vgl. Hes. Ἀμφαγαπαζόμενος 25 B 388, 21 A Sui.

---

1 τρωγάλια] vgl. Kaibel zu Athen. I p. 123, 18 8 Ἀμυλλίδωτον Hes. ἀλυcίδωτον Ruhnken 10 ἀμφοτέροθεν *b* 11 cκοπτική *b* φωνή] in Bekkers Fassung ὄνομα (das für Phrynichos charakteristische Wort ist dort mehrfach beseitigt) 15 Αφερεκράτης *b* (A rot) 18 ἀμφοτέροθεν *b* 19 Ἀμφιρεφές *b* (ι aus η) ἀμφοτέροθεν *b* 21 Lies εἰc ἐλαύνει (vgl. Hes. εἰcελαύνει verb. von Palmer) 24 Lies ἀμφηγάπαζες αὐτόν

'Αμφιανακτίζειν· ᾄδειν τὸν Τερπάνδρου νόμον τὸν καλούμενον Ὄρθιον.

'Αμφὶ ἄνακτας· ἀρχή τίς ἐστι νόμου κιθαρῳδικοῦ Βοιωτίου ἢ Αἰολίου, ἢ τοῦ 'Ορθίου. οὕτω Κρατῖνος (fr. 67) καὶ 'Αριστοφάνης (Nub. 595 fr. 59) καὶ Ἴων.

'Αμφιάραος καὶ 'Αμφιάρεως ἑκατέρως λέγουσιν. 'ὦ δέσποτ' 'Αμφιάραε πολυτίμητ' ἄναξ.'

'Αμφὶ ἀγορὰν πλήθουσαν· Ξενοφῶν ἐν 'Αναβάσει (I 8, 1).

'Αμφίβιον· ἐν ἀμφοτέραις δυνάμενον βιοῦν, θαλάσσῃ καὶ γῇ.

'Αμφίβληστρον· 'Επίλυκος Κωραλίσκῳ· 'πλοῖόν τε λαβὼν κατ' ἐμαυτὸν καὶ ἀμφίβληστρον τήν τε τρίαιναν'. οὕτως δὲ καὶ Στράττις.

'Αμφίβολοι· πανταχόθεν βαλλόμενοι. καὶ ἀπορούμενοι, διαφόροις συνεχόμενοι λογισμοῖς ἀγνοίᾳ τοῦ αἱρετοῦ καὶ εἴτε τοῦτο εἴτε ἐκεῖνο ποιήσουσιν. |

'Αμφίβολοι· λέγονται καὶ οἱ ὑπό τινος πανταχόθεν περισχεθέντες **96r** καὶ περιεχόμενοι.

'Αμφιγνοεῖν· ἀγνοεῖν ἢ ἐνδοιάζειν. ἢ τὸ μὴ ἀκριβῶς γινώσκειν. ἔστι δὲ καὶ ⟨ἀ⟩μφιβάλλειν.

'Αμφιγύοισι· τοῖς ἐξ ἑκατέρου μέρους πλῆξαι ἢ γυῶσαι δυναμένοις.

'Αμφίδεα⟨ι⟩· ψέλλια. ἢ κόσμος περιτραχήλιος, ἀπὸ τοῦ περιδεῖσθαι.

'Αμφιδεές· περιδεές.

'Αμφιδεξίοις χερσί· διὰ τὸ ἑκατέραν χεῖρα ἐνεργεῖν ἐν τῷ τοξεύειν.

'Αμφιδέξιοι μῦθοι· οἱ διχογνωμονούμενοι.

'Αμφιδέας· περισκελίδες τινές εἰσιν. ἰδίως δὲ Λυσίας ἐν τῷ κατ' Εὐθυδίκου (fr. 100 S.) φησίν· 'οὐ δυνάμενος ἐκβαλεῖν διὰ τὸ ἀμφιδέαις δεδέσθαι τὰς θύρας'.

1 2 Sui. Gl. 2 (mehr) **3—5** Vgl. Hes. **9** B 388, 22 A Sui. **13—15** B 388, 24 A Sui. **18. 19** Zwei Teile: 1) bis ἐνδοιάζειν Sui. aus Harp.; 2) Hes. vgl. Bek. 183, 23 Et. magn. 87, 48 aus Dorotheos **20. 21** B 388, 27 A Sui. **22. 23** Zwei Teile: 1) bis ψέλλια B 388, 29 A Sui., vgl. Hes. 'Αμφιδέαι **24** B 388, 30 A Sui. Hes. **25. 26** Hes. (Aesch. fr. 240) 27 Hes. 'Αμφίδοξοι **28—30** Sui. aus Harp.

6 ἀμφιάραως καὶ *b* 8 ἀναβάσεσιν *b* 9 θαλ^α *b* 10 καρανίσκω *b* 13 πανταχόθι *b* 20 'Αμφιγυίοισι *b* 28 λύσις *b*

Ἀμφιδρομία· ἡμέρα τιϲ ἤγετο ⟨ἐπὶ⟩ τοῖϲ νεογνοῖϲ παιδίοιϲ, ἐν ᾗ τὸ βρέφοϲ περὶ τὴν ἑϲτίαν ἔφερον τρέχοντεϲ καὶ ὑπὸ τῶν οἰκείων ⟨καὶ⟩ φίλων πολύποδαϲ καὶ ϲηπίαϲ ἐλάμβανον. ἐκλήθη δὲ ἀπὸ τοῦ ἀμφιδρομεῖν καὶ περιτρέχειν μετὰ τοῦ παιδὸϲ ἐπιθύοντα τοῖϲ θεοῖϲ.

Ἀμφιδρανέϲ· ἱμάτιον διπρόϲωπον ἐν τῷ πεποικίλθαι καὶ τὴν αὐτὴν ἔχον ἐπιφάνειαν.

Ἀμφίδοχμοι λίθοι· οἱ μέγεθοϲ ἔχοντεϲ.

Ἀμφίδρομοϲ πορθμόϲ· ὁ ἀμφοτέρωθεν ὅρμον ἔχων. οὕτωϲ Πλάτων.

Ἀμφίδρομοϲ δαίμων· οἷον ὁ γενέθλιοϲ. οὕτωϲ Αἰϲχύλοϲ (fr. 222 vgl. 65). καὶ ὁ δολιχὸϲ δρόμοϲ. Δολίχου δέ τινοϲ Δελφοῦ πολλάκιϲ τοῦτον νικῶντοϲ κληθῆναι δολιχόν. οὕτωϲ Ἀπολλώνιοϲ ἐν τῷ περὶ Δελφῶν.

Ἀμφίδρυμα τὸ ἐν ταῖϲ Σφενδόναιϲ· ἔϲτι μὲν καὶ τὸ ἄγαλμα. Σφενδόνη δὲ Ἀθήνηϲι τόποϲ.

Ἀμφίδουλοϲ· ὁ ἐξ ἑκατέρων τῶν γονέων δοῦλοϲ. ἔϲτι παρ' Εὐβούλῳ ἐν Πεντάθλῳ ἡ λέξιϲ· 'νόθοϲ, ἀμφίδουλοϲ, οὐδαμόθεν οὐδείϲ, κύων'.

Ἀμφιετηρίϲ· ἡ κατ' ἔτοϲ γινομένη ἑορτή τε καὶ θυϲία. Κρατῖνοϲ Ἀρχιλόχοιϲ· 'εἶτ' ἀμφιετιζομέναιϲ ὥραιϲ τε καὶ χρόνῳ μακρῷ'.

Ἀμφιέϲαϲθαι· Ἀριϲτοφάνηϲ Πελαργοῖϲ· 'οὐ γὰρ ϲὺ παρέχειϲ ἀμφιέϲαϲθαι τῷ πατρί'.

Ἀμφιετίδαι· οἱ μωροί. ἀπὸ Ἀμφιετίδου τινὸϲ μωροῦ. Μένανδροϲ Ὑποβολιμαίῳ.

Ἀμφιετιζομέναϲ· τὰϲ κατ' ἔτοϲ περιερχομέναϲ.

Ἀμφιθαλήϲ· ἑκατέρωθεν θάλλων. ἢ οἱ ἐξ ἀμφοῖν τεθηλότεϲ καὶ

1—4 Zwei Teile: 1) bis ἐλάμβανον aus Harp. (vgl. An. Ox. II 489, 7), vgl. Hes. Schol. Plat. Theaet. 160e; 2) vgl. Bek. 207, 13 **5. 6** Hes. **7** Hes. (Pollux 1, 200) zu Xenoph. Equ. 4, 4 **10—13** Hes. **14. 15** Vgl. Bek. 202, 22 (Phryn. com. fr. 30) **16—18** Hes., vgl. Eust. 1445, 50 Et. magn. 87, 54 **19—21** Vgl. Sui. und das ῥητορικόν Symeons (Reitzenstein Gesch. d. gr. Et. 267, 25) **24. 25** Vgl. Eust. 1669, 51 **26** Hes., vgl. Eust. 1384, 64 Et. magn. 90, 27 und das ῥητορικόν Symeons (Reitzenstein Gesch. d. gr. Et. 268, 13) **27**—p. 101, **2** Zwei Glossen: Ἀμφιθαλήϲ (B 388, 31 A Sui.) und Ἀμφιθαλεῖϲ

---

1 Ἀμφιδρομία auch Harp. Hes. 2 Lies ἀπὸ 8 ἀμφοτέροθεν *b* 10 Αοῖον (A rot) *b* 14 Lies Ἀφίδρυμα 20 ἀμφιετηριζομέναιϲ *b*, vgl. Einleitung 24 ἐμφιετίδου *b* 26 περιεχομέναϲ *b* 27 Ἀμφιθαλήϲ *b* im Text, εῖϲ am Rand 27 ἑκατέροθεν *b*

ὄντες ἀδελφοὶ ἐκ μητρός τε καὶ πατρός. ἢ ἐφ' ᾧ ἀμφότεροι θάλλουσιν οἱ γονεῖς.

Ἀμφίθετον ⟨φιάλην⟩ (Ψ 270)· κατὰ πᾶν μέρος αὐτῆς τιθέμενον ἀπύθμενον.

Ἀμφίθυρος· ἡ ἔχουσα οἰκία θύρας ἑκατέρωθεν φερούσας εἰς ὁδόν. Σοφοκλῆς (Phil. 159) δὲ 'οἶκον ἀμφίθυρον' τὸ τοῦ Φιλοκτήτου | ἄντρον. χρήσῃ δὲ οὐ μόνον ἐπὶ οἴκου, ἀλλὰ καὶ ἐπὶ ἑτέρων, *96v* οἷον ἀμφίθυρον τρίκλινον, ⟨ἀ⟩μφίθυρον δωμάτιον. οὕτως Φρύνιχος.

Ἀμφίκαυστις· ἡ πρώτη τῶν ἀσταχύων ἔκφυσις. καλεῖται δὲ καὶ καῦστις, καθ' ὅσον εἰώθασιν ἔτι χλωροὺς ὄντας τοὺς πρώτους στάχυς καίειν. οἳ δὲ ἁπλῶς τὸν στάχυν φασίν. Φρύνιχος δὲ ἀμφίκαυστιν τὴν ὡραιοτάτην. οἳ δέ τὴν ἐρυσίβην. οἳ δέ τὴν ὥριμον κριθήν. παρὰ δὲ τοῖς τραγικοῖς καῦστις εἴρηται μεταφορικῶς ἡ μάχη, παρά τισι δὲ ἡ ὀσφῦς καὶ τὰ ἰσχία, παρ' ἐνίοις δὲ ὁ ξηρὸς χόρτος. ἔνιοι δὲ τὸ αἰδοῖον.

Ἀμφικελέμνους· ἀμφιβαρεῖς.

Ἀμφικέφαλος κλίνη· ἡ ἐξ ἑκατέρου μέρους ἔχουσα ἀνάκλιντρον. Πλάτων Ἑορταῖς (fr. 34)· 'ἔπειτα κλίνην ἀμφικέφαλον'. καὶ τὰ ὅμοια.

Ἀμφίκρανος ὕδρα· Εὐριπίδης Ἡρακλεῖ (1274). ⟨Ἀ⟩μφίκρανος ῥάβδος· Σοφοκλῆς Φιλοκτήτῃ· 'καὶ ῥάβδος ὡς κήρυκος Ἑρμαία διπλοῦ δράκοντος ἀμφίκρανος'.

Ἀμφικίων ναός (Soph. Ant. 285)· οἱ δὲ νῦν περίστυλος ναὸς ἢ οἰκία λέγουσιν.

Ἀμφίκρημνος· περίκρημνος. ἢ βραχυτάτη.

Ἀμφικτύονες· οἱ ἐκ πόλεων καὶ ἐθνῶν αἱρετοὶ δικασταί, οἷον ἀμφικτύονες καὶ περίοικοι. ἔστι δὲ συνέδριον Ἑλληνικὸν συναγόμενον

---

3. 4 Sui., vgl. B 388, 32 und Ath. XI 501 a—d **5—9** aus Phrynichos (vgl. auch Hes. und Bek. 204, 15) **10—16** Vgl. Hes., Phot. Καῦστις, vgl. auch Eust. 1446, 26 (Schwabe p. 164) und Methodios] Reitzenstein Gesch. d. griech. Et. p. 35, 6 **17** Vgl. Hes. Et. magn. 91, 1 **18. 19** Hes. vgl. Et. magn. 90, 29 **20—22** Vgl. Hes. Aus dem Phil. in Troja, vgl. fr. 638 **25** B 389, 1 A Sui. **26**—p. 102, **5** Zwei Glossen: 1) bis περίοικοι (27) Sui. Gl. 1 aus Timaios; 2) Sui. Gl. 2 aus Harp.

---

5 εἴσοδον *b* 11 καῦσις *b* ἔτι] ἐπὶ *b* 11. 12 τοὺς ἄσταχυς *b* 19 ἀμφίκολλον Pollux 20 Lies Ἀμφίκρανος κύων· ἡ ὕδρα 22 ἑρμαῖα *b* 26 πόλεως *b*

ἐν Θερμοπύλαις, ὠνομάσθησαν δὲ ἀπὸ Ἀμφικτύονος τοῦ Δευκαλίωνος. αὐτὸς γὰρ συνήγαγε τὰ ἔθνη βασιλεύων. ταῦτα δὲ ἦν ιβʹ Ἴωνες, Δωριεῖς, Περραιβοί, Βοιωτοί, Μάγνητες, Ἀχαιοί, Φθιῶται, Μηλιεῖς, Δόλοπες, Αἰνιᾶνες, Δελφοί, Φωκεῖς. οἳ δέ φασιν ὠνομάσθαι ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς συναχθέντας.

Ἀμφίκορος· ἣν ἑκατέρωθεν ἄνδρες περιλάβωσιν.

Ἀμφιλαφές· κατάσκιον, ἀμφοτέρωθεν βοηθούμενον. δαψιλές. 'ἥ τε γὰρ πλάτανος αὕτη μάλιστα ἀμφιλαφής.' ἐν Φαίδρῳ Πλάτων (230 b). πολὺ δέ ἐστι παρὰ τοῖς τραγικοῖς.

Ἀμφιλογῆσαι· ἀντειπεῖν.

Ἀμφιλαφής· μεγάλη· οἷον ⟨ἀμφιλαβής, ὅτι⟩ ἀμφοτέραις χερσὶ λαμβάνεσθαι αὐτῆς ἔστιν.

Ἀμφιλαφῆ κακά· ξένως εἴρηται Αἰσχύλῳ Νεανίσκοις· 'πρὸς δ' ἐπὶ τοῖς ἀμφιλαφῆ πήματ' ἔχων ἀθανάτων.'

Ἀμφίκορος· ὁ μέσος τῶν τριῶν ἀδελφῶν.

Ἀμφίκουρον· τὸν ἀμφοτέρωθεν κεκαρμένον. ⟨καὶ 'ἀμφίκουρον⟩ κορμόν'. Σοφοκλῆς.

Ἀμφίμα⟨λ⟩λον· ἀμφίμιτον· ⟨τοῦτο⟩ ἀπὸ τοῦ μιτώσασθαι. περὶ 97r ὃ τὸν μίτον εἰλοῦσιν | ἐν τῷ μιτοῦσθαι. Φερεκράτης Ἀγρίοις.

Ἀμφιμάσχαλος χιτών· δύο χειρίδας ἔχων, ἅσπερ μασχάλας ἐκάλουν. ὃς ἦν τῶν ἐλευθέρων· ὁ δὲ τῶν οἰκετῶν μίαν εἶχε καὶ διὰ τοῦτο ἑτερομάσχαλος ἐκαλεῖτο. ἦν δὲ τοιοῦτος, ἵνα γυμνῷ τῷ ὤμῳ εὐκολώτερον ἐργάζωνται.

Ἀμφιμάτορας· ἀμφοτέρους τοὺς γονεῖς ἔχοντας.

Ἀμφιμήτωρ· ὁμοπάτριος μὲν οὐχ, ὁμομήτριος δέ.

Ἀμφιματῶσαι· ἀποδῦσαι.

Ἀμφιμήτρια· τὰ μετὰ τὴν τρόπιν τῆς νεὼς ἐξ ἑκατέρου μέρους ἐπιτιθέμενα.

---

6 Sui. Ἀμφίκουρος vgl. unten Z. 15 (u. 16) **7—9** Zwei Teile: 1) bis βοηθούμενον B 389, 3 A Sui.; 2) von δαψιλὲς wohl Phryn. 26, 18 **11. 12** B 389, 6 Sui. **13. 14** aus Dorotheos (?) **15** Sui. Hes. **16. 17** Vgl. Hes. **18. 19** Vgl. Hes. Ἀμφίβαλλος, anders Pollux VII 57 τὸν ἀμφίμαλλον χιτῶνα δασὺν καὶ ἀμφίμιτον. Zwei Glossen, vgl. unten S. 103, 1 **20—23** Vgl. Hes. Et. magn. 90, 54 uud das ῥητορικόν Symeons (Reitzenstein Gesch. d. gr. Et. 268, 25) **24** B 389, 8 A Sui. **25** Hes., vgl. Phrynichos Bek. 6, 24. Sui. Et. magn. 91, 3 **26** B 389, 9 A **27. 28** Hes.

---

3 περρεβοὶ *b* μιλιεῖς *b* 6 Vielleicht ἣν ⟨ἂν⟩ 8 ἀμφιλαφίς *b* 13 Αξένως *b* (A rot) 19 ἐν τῷ] ἐκ τοῦ *b* vgl. unten S. 103, 1 25 ὁμοπάτωρ *b* 26 Lies Ἀφιματῶσαι Dind. 27 ῥοπήν *b* ἑκατέρους *b*

Ἀμφίμιλλον· ὃ περὶ τὸν μίτον είλοῦcιν ἐν τῷ μιτοῦcθαι.

Ἄμφιον· ἱμάτιον, ἔνδυμα.

Ἀμφιορκία· ἐπειδὰν ὅ τε διώκων καὶ ὁ φεύγων ὀμνύωcι. πολλῶν δὲ κλοπῆc ἔγκλημά τιcιν ἐπιφερόντων, ἐπειδὴ τοῦτο πολλάκιc ὤφθη μάτην γινόμενον, ἔθεντο Ἀθηναῖοι νόμον κατὰ τῶν ἀπαγόντων εἰc δεcμωτήριόν τιναc ἐπὶ δίκῃ κλοπῆc, χιλίαc διδόναι δραχμὰc τοὺc ἁλόνταc. ἀλλὰ καὶ τοὺc οὐcίαν ἀπογράψανταc τῶν πολιτῶν τινοc ὡc τῷ δήμῳ προcήκουcαν, εἰ cυκοφαντοῦντεc ἁλοῖεν, καὶ οὗτοι χιλίαιc ἐζημιοῦντο.

Ἀμφιπλίξ· ἀμφιβάδην. τὸ περιεχόμενον ὑπὸ τῶν ποδῶν. πλὶξ γὰρ τὸ βῆμα.

Ἀμφίπολιc· πόλιc ἐcτὶ τῆc Θρᾴκηc· πρότερον δὲ Ἐννέα ὁδοὶ ἐκαλοῦντο. φαcὶ δέ τινεc αὐτὴν οὕτωc ὠνομάcθαι διὰ τὸ περιοικεῖcθαι τὸν τόπον.

Ἀμφίπολοc· θεράπαινα, τουτέcτιν ἡ περὶ τὸν θάλαμον ἢ τὴν οἰκίαν πολουμένη, ὅ ἐcτιν ἀναcτρεφομένη καὶ περιέπουcα.

Ἀμφίπρυμνοc λόγοc· Εὐριπίδηc· 'ὡc ἀμφιπρύμνῳ δύο μ' ἐλέγχετον λόγω'.

Ἀμφιρύτη· περιρρεομένη κύκλῳ.

Ἀμφιπλήκτοιc· ἀμφιθαλαccίοιc, ἑκατέρωθεν πληccομέναιc ὑπὸ θαλάccηc. λέγει δὲ τὸν Ἰcθμόν.

Ἀμφί<c>βαινα· ὄφιc ὁ καὶ ἐπὶ τῆc οὐρᾶc κεφαλὴν ἔχων. Πελαργοῖc Ἀριcτοφάνηc.

Ἀμφιcβητεῖν καὶ παρακαταβάλλειν· ὅταν τελευτήcαc τιc ἄπαιc εἶναι δοκῇ, φάcκῃ δέ τιc ἑαυτὸν ἐκείνου υἱόν, οὗτοc ἀμφιcβητεῖν τοῦ κλήρου λέγεται. εἰ δὲ παῖδα μὲν τοῦ θανόντοc ἑαυτὸν μὴ εἰcάγοι, λέγοι δὲ ἄλλωc κατὰ γένοc αὐτῷ προcήκειν τὸν κλῆρον, παρακαταβάλλειν αὐτὸν οἱ νόμοι κελεύουcι. πλὴν ἀμφότερα ἐπ' ἀντιλογίαc τάccεται. ἢ μὴ cυμφωνεῖν, ἀλλ' οἷον χωρὶc βαίνειν καὶ ἀμφιβάλλειν.

---

1 Vgl. S. 102, 18 **2** B 389, 10 A Sui., vgl. Hes. **3—9** Sui. **10. 11** Vgl. Schol. Arist. Ach. 217 Gregor. Cor. de dial. 548 (zu Soph. fr. 539) **12—14** Sui. aus Harp. **15. 16** Vgl. B 389, 11 A Sui. **19** B 389, 12 A Sui. **20. 21** Vgl. Hes. **22. 23** Vgl. Hes. (ähnlich erklärt Nikander Ther. 372, anders Eust. 1445, 53) **24—30** Zwei Glossen: 1) bis τάccεται (29) Sui. Gl. 2, anders Harp.; 2) B 389, 13 A Sui.

---

1 Wohl Ἀμφίμαλλον vgl. oben S. 102, 18 περὶ ὃ oben S. 102, 18 ὀμνύουcι *b* 6 δραγμὰc *b* 10 Ἀμφίπληξ ἀμφιβάδιν *b*. πλὴξ *b* 18 ἔλεγχον λόγοι *b* 25 δοκεῖ φάcκει *b*

Ἀμφισβητήσιμον· Πλάτων (z. B. Soph. 231e) καὶ ὁ Θεόπομ-97v πος. | Ἀμφισβητήτου δὲ Θουκυδίδης (VI 6).

Ἀμφισβήτησις· Δημοσθένης (z. B. 18, 131).

Ἄμφι⟨σ⟩σα· πόλις ἐστὶ τῆς Λοκρίδος, καὶ ὠνομάσθη οὕτως διὰ τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν.

Ἀμφιστεφέες· πάντοθεν πλήρεις, περιπεπλεγμέναι ἀλλήλαις.

Ἀμφίταποι· τάπητες ἀμφίμαλλοι.

Ἀμφὶ τὸ λυκόφως· περὶ τὴν αὐγήν.

Ἀμφιτρυχῆ· κατερρωγότα.

Ἀμφίσβατα· τὰ ἀμφισβητήσιμα. Ἑλλάνικος (fr. 177).

Ἀμφιφορεῖα· ἀγγεῖα.

Ἀμφιφορεῦσι· κεραμίοις, ἀμφορεῦσιν.

Ἀμφι⟨πά⟩τορες· οἱ ἀπὸ τοῦ αὐτοῦ πατρός, ἑτέρας δὲ μητρός.

Ἀμφὶ τὰ στρατεύματα δαπανᾶν· καινὸς ὁ λόγος καὶ διεσχηματισμένος. ἦν γὰρ τὸ κατὰ φύσιν εἰπεῖν εἰς τὰ στρατεύματα δαπανᾶν. εἴποις δ' ἂν καὶ οὕτως· περὶ ἀθλητὰς δαπανᾶν, περὶ ἑταίρας, ⟨καὶ⟩ πᾶν ὅ τι ὅμοιον. οὕτως Ξενοφῶν (Anab. I 1, 8) καὶ Φρύνιχος.

Ἀμφίχυτον· περικεχωσμένον.

Ἄμφοδον· δίοδον, ῥύμην.

Ἀμφορεαφόρους· τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας. καὶ Ἀμφορεαφορεῖν καὶ Ἀμφορείδιον καὶ Ἀμφορείδια (Eccles. 1119) Ἀριστοφάνης (fr. 299, 3 und Pa. 202), Ἀμφορίσκον δὲ Μάγνης.

Ἀμφορεῖς· κέραμοι (Ar. Nu. 1203).

Ἀμφορεύς· ἀγγεῖον, μέτρον, κεράμιον.

Ἀμφότερα· κατ' ἀμφότερα Θουκυδίδης (I 13).

Ἀμφοτερόπλουν· ὅταν τις ναυτικὸν δανείσῃ δάνειον ἐπὶ τῷ

---

4. 5 Sui. aus Harp. **6** B 389, 16 A Sui. Hes. **7** B 389, 15 A Sui., vgl. Hes Ἀμφιτάποις Pollux IV 9 **8** B 389, 18 A Sui. **9** B 389, 19 A Sui. **10** Sui., vgl. Hes. **11** B 389, 20 A Sui. **12** B 389, 21 A Sui. **13** Sui. **14—18** aus Phrynichos (Bek. 27, 32) **19** B 389, 22 A Sui., vgl. Hes. **20** B 389, 23 Sui. **21—23** Sui. (mehr). Zwei Glossen: 1) bis φέροντας B 389, 24 A Sui., vgl. Hes.; 2) Sui. **24** A Sui. **25** A Sui. **26** Sui. **27**—p. 105 **2** Sui. aus Harp. (vgl. An. Ox. II 489, 10)

---

4 Ἀπόλις *b* (A rot) 6 πλήρης *b* 9 Ἀμφιτρυγῆ *b* 10 Ἀμφίσματα *b* 11 Ἀμφιφορία *b* Ἀμφιφορῆα ἀγγεῖον Sui. 22 ἀμφορίδιον καὶ ἀμφορίδια *b*

καὶ ἐνθένδε πλεῦςαι ποιῶν κἀκεῖθεν ἐνθάδε, οὕτως καλεῖται. Δημοcθένης οὕτως (z. B. 34, 6).

⟨Ἄ⟩μφω τὼ χεῖρε· ἀμφοτέρας.

Ἀμφοτέρως εἰπεῖν, ὁποῖόν τί ἐςτι τοῦτο. Πλάτων (Phil.)

⟨Ἀ⟩μφορῆ· τὸ δυικὸν ςυναλείφοντες οἱ Ἀττικοὶ λέγουςιν ἀντὶ τοῦ ἀμφορέε καὶ τὰ ἄλλα ὁμοίως. Ἀριςτοφάνης Θεςμοφοριαζούςαις (282)· 'ἀλλ' ὦ περικαλλῆ Θεςμοφόρω δέξαςθέ με'. Πλάτων Μετοίκοις 'τώδ' ἀναιςχυντοῦντε τὼ μίλ⟨τῳ⟩ τηλεφανῆ' ⟨καὶ⟩ Διὶ Κακουμένῳ· 'τὼ προςεμφερῆ τὴν ςοφίαν'. οὕτως Τηλεκλείδης Ἡςιόδοις καὶ οἱ λοιποί.

Ἀμφώβολα· τὴν διὰ τῶν ςπλάγχνων μαντείαν. Σοφοκλῆς (fr. 910).

Ἀμφώτιδας· οὐκ ἀμπώτιδας, τὰς περὶ τὰ ὦτα.

Ἀμφιφόων· πλακοῦς τις Ἑκάτῃ καὶ Ἀρτέμιδι φερόμενος δᾳδία ἐν κύκλῳ περικείμενα ἔχων. Φιλόχορος (vgl. fr. 170) ἐν τῇ περὶ ἡμερῶν· 'ἕκτη ἐπὶ δέκα: καὶ τοὺς καλουμένους δὲ νῦν ἀμφιφῶντας ταύτῃ τῇ ἡμέρᾳ πρῶτον ἐνόμιςαν οἱ ἀρχαῖοι φέρειν εἰς τὰ ἱερὰ τῇ Ἀρτέμιδι καὶ ἐπὶ τὰς τριόδους. ταύτῃ γὰρ ςυμβαίνει περικαταλαμβάνεςθαι τὴν ςελήνην πρὸς ταῖς δυςμαῖς ὑπὸ τῆς ἀνατολῆς τοῦ ἡλίου.'

Ἄμφω· | ἀμφότεροι καὶ ἀμφοτέρους, καὶ αἱ πλάγιαι ἀμφοῖν. *98r*

Ἀμωςγέπως· ὁπωςδήποτε, ἐν γέ τινι, καθ' ὁ⟨ν⟩τιναοῦν τρόπον. λέγεται δὲ καὶ Ἀμηγέπη· καθ' ἕνα τινὰ τρόπον, καὶ Ἀμόθεν· ἐξ

---

3 B 389, 26 A Sui. Hes. **5—10** Atticist., eher Dionysios als Phrynichos **11**. **12** Hes., vgl. Eust. 1405, 30 (vorausgeht Pausanias Schwabe p. 212) **13** Vgl. Eust. 1324, 38 ἀμφώτιδες κατὰ Παυςανίαν, ἃς οἱ παλαιςταὶ παρὰ τοῖς ὠςὶν ἔχουςιν **14—20** aus Herodians Symp. vgl. Athen. XIV 645a Hes. (vgl. Nachr. d. Kgl. Ges. d. Wiss. Göttingen 1906 S. 43). Die Stellung zeigt, daß Photios hier das Exzerpt aus Pausanias in seiner Quelle fand, das Sui. bietet; er ersetzt es durch Herodian. Vgl. auch Methodios im Et. gen. (Reitzenstein Gesch. d. griech. Et. 37, 25). **21** Sui. **22—p. 106, 2** Zwei Teile: 1) bis τρόπον B 389, 28 A Sui. Et. gen. (ἔςτι δὲ ῥητορικὴ ἡ λέξις) Schol. Plat. Phaed. 228c; 2) vgl. oben S. 91, 9 (93, 3)

---

1 ποιῶν auch Harp. E und An. Ox. lies ποι 6 ὅμοια *b* 8 ὧδ' ἀναιςχύντουτε τωμηλτηλεφῆ *b* τῶ προςεμφερεῖ *b* 10 ἡςίοδος *b* 11 Ἀμφωβολατεῖν διὰ *b* 14 Ἀμφιφόων auch cod. Hes. Lies Ἀμφιφῶν 15 Vielleicht περικαιόμενα (Athen. ἐν κύκλῳ καόμενα) φιλόχωρος *b* 16 ἕκτῃ] ἐξ *b* 18 Lies καὶ ἔτι εἰς τὰς (ἔτι τε καὶ εἰς τὰς Athen.) 18 Lies ἐπικαταλαμβάνεςθαι wie Athen. 19 Lies ἐπὶ ταῖς (wie Athen.) 21 ἀμφοτέροις *b* 21 πλάγιοι *b* 23 ἀμῶθεν *b*

ἑνόϲ γέ τινοϲ τρόπου ἢ τόπου, καὶ Ἀμουγέπου· ἐν ἑνί γέ τινι τόπῳ ἢ τρόπῳ, ἀλλὰ καὶ ⟨Ἀ⟩μοιγέπῃ.

Ἀμῶϲιν· θερίζουϲιν.

Ἄνα· ἄναξ. ἢ ἄνω. ἢ ἀνάϲτηθι. ἢ ἐνέργει. καὶ.. Ἀνάλυϲιϲ...

Ἀναβάτηϲ· ἵπποϲ ὀχευτήϲ.

Ἀναβαλλίδαϲ· ταινίαϲ. ἢ ϲφαίραϲ.

Ἀνάβαλλε· ἀναβολὴν δίδου. καὶ ἀναβάλλου. οἱ δ' Ἀττικοὶ περιϲπῶϲιν.

Ἀναβάδην καθῆϲθαι· ἢ τὸ μετέωρον καθέζεϲθαι.

Ἀναβάλλεϲθαι τὸ ἱμάτιον· οὐ περιβάλλεϲθαι λέγουϲιν.

Ἀναβάλλειν· ἀντὶ τοῦ ἀναβολὰϲ καθίϲτηϲιν.

Ἀναβαϲμοί· διὰ τοῦ $\bar{ϲ}$ λεκτέον καὶ οὐ διὰ τοῦ $\bar{θ}$. ἀμαθῶν γὰρ τὸ οὕτωϲ λέγειν δέον ἀναβαϲμοὶ καὶ βαϲμοί. τὰ γὰρ διὰ τοῦ $\bar{θ}$ ὀνόματα Ἰάδοϲ μᾶλλον, μηνιθμόϲ, κηληθμόϲ. καὶ ἄλλοϲ οὐδεὶϲ ἂν εὑρεθείη ποιητὴϲ ἢ ῥήτωρ ἢ ἱϲτοριογράφοϲ. ῥητέον οὖν μόνωϲ διὰ τοῦ $\bar{ϲ}$, ὡϲ Ἀριϲτοφάνηϲ· 'ἐκ τῶν ἀναβαϲμῶν ἀπιᾶϲιν'.

Ἀναβεβαμένοι· ἀναβάτην ἔχοντεϲ. οὕτωϲ Ξενοφῶν (Hipparch 1, 4).

Ἀναβέβρυχεν· ἀναπηδᾷ, ἀναβρύει, ἀναβλύζει.

Ἀναβεβραϲμένη· ἀνακεκινημένη. Ἀριϲτοφάνηϲ Ἀναγύρῳ· 'τήνδε ἕωλον ἀναβεβραϲμένην'.

Ἀνάβηθι καὶ ἀνάβα· ἑκατέρωϲ. καὶ κατάβηθι καὶ ⟨κατάβα, καὶ⟩ ἀνάϲτηθι καὶ ἀνάϲτα, καὶ ἀνίϲτω καὶ ἀνίϲταϲο, καὶ τὰ ὅμοια.

Ἀναβήϲομαι· Δημόκριτοϲ ⟨ἀντὶ τοῦ⟩ ἐπανεξελεύϲομαι ἐξ

---

3 B 389, 30 A Sui. **4** Vgl. Sui. Hes. **5** Hes. u. Cyrille **6** aus Diogenian, vgl. Hes. Ἀναβαλλίδα τὴν ὑάκινθον (verdorben aus Ἀναγαλλίδα). ταινία ἢ ϲφαῖρα. Et. magn. 95, 42 Ἀναβαλλίδεϲ· ταινίαι. οἱ δὲ ϲφαίραϲ ἀπέδοϲαν. Διογενιανόϲ **7. 8** Zwei Glossen: Hes. Ἀνάβαλλε und Sui. Ἀναβαλοῦ (zu Arist. Vesp. 1135) vielleicht erst vom Schreiber verbunden **9** Vgl. Sui. Hes. **10** Sui. (aus Phrynichos?) **11** Sui. aus Harp. **12—16** aus Phrynichos (?), vgl. Hes. **18** Vgl. Hes. **19. 20** Vgl. Hes. **21—23** Vgl. Bek. 81, 12, vgl. B 405, 15 unten S. 142, 41 **24**— p. 107, **2** Hes. (vgl. Bek. 81, 15 vgl. auch Hes. Ἀναβήμεναι, Apoll. Soph. 33, 4)

---

1 ἀμηγέπου früher S. 91, 10 γέ τινι] δέ τινι *b* 2 ἀμηγέποι früher S. 91, 10 4 Vor Ἀνάλυϲιϲ kleine Lücke nach ihm keine *b* 7 Ἀνάβαλε *b* verb. aus Hes. 7 ἀναβάλλου *b* Hes. οἱ δ' Ἀττ. περιϲπῶϲιν in *b* nach καθέζεϲθαι (also ursprüngl. am Rand) 11 Ἀναβάλλειν auch Harp. Lies ⟨εἰϲ⟩ ἀναβολάϲ 14 κηλιθμόϲ *b* 17 Ἀναβεβαμμένοι *b* 20 τὴν δὲ αἴωλον *b* 22 ἀνίϲτων *b*

ἀρχῆς. καὶ τὸ ἀναχωρῆσαι. Ὅμηρος (z. B. α 210) δὲ τὸν ἐπὶ τὴν Τροίαν πλοῦν ἀνάβασιν λέγει.

Ἀναβιβῶμαι· ἀναβιβάσομαι. Ἀμειψίας (fr. 30).

Ἀναβιῴην καὶ ἀναβιούς· Ἀριστοφάνης (Ran. 177 und fr. 742), ἀναβεβίωκα δὲ Εὐριπίδης, καὶ Ἀναβιῶναι Πλάτων (fr. 131) καὶ ἀναβεβιῶσθαι Σαννυρίων.

Ἀναβιώσκεσθαι· ἀναζῆν.

Ἀναβιώσκειν· τὸ ἀναβιοῦν. καὶ ἀναβιῶσαι λέγουσιν.

Ἀναβοθρεύουσιν· ἀναμοχλεύουσιν.

Ἀναβόλιμοι δίκαι· αἱ διά τινα πολιτικὴν περίστασιν εἰς ὑπέρθεσιν ἐμπίπτουσαι.

Ἀναβολή· προοίμιον διθυραμβικοῦ ᾄσματος. Εὔπολις Βάπταις· 'αὔλησον αὐτῇ κύκλιον ἀναβολήν τινα.'

⟨Ἀ⟩ναβλυσθωνῆσαι· τὸ ἀναβλῦσαι. ὁ αὐτὸς Δήμοις (fr. 105). πάντα τὰ τοιαῦτα οἱ κωμικοὶ ποιοῦσι παρόντες.

Ἀναβράσσουσιν· | ἀναδιδοῦσιν. *98v*

Ἀναγαγών· ἀντὶ τοῦ ἀπαγαγών. Ξενοφῶν (Cyr. VII 1, 45).

Ἀνάγειν· τὸ μηνύειν τὸν πεπρακότα καὶ ἐπ' ἐκεῖνον ἰέναι. οὕτως Λυσίας (fr. 62 S) καὶ Δείναρχος (fr. 89, 6 S).

Ἀναγεῖς· διὰ μὲν τοῦ ᾱ τοὺς ἀνάγνους, διὰ δὲ τοῦ ε̄ τοὺς ἐνόχους ἄγει καὶ μιάσματι. οὕτως Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (110).

Ἀναγινωσκομένους· ἀναπειθομένους. οὕτως Ἀντιφῶν (I β 7) Ἰσαῖος (fr. 144 S.) καὶ Ἡρόδοτος (z. B. VIII 110).

Ἀναγαλλίς· πόα τις. λέγεται δὲ καὶ ἀρρενικῶς. ἔστι δὲ διττὸν τὸ εἶδος αὐτῆς· ἡ μὲν γὰρ φέρει τὸ ἄνθος κυανοῦν, ἡ δὲ ἐρυθρόν, ἥτις καὶ κοράλλιον καλεῖται.

Ἀναγκαῖον· Ἰσαῖος (fr. 52 S.) καὶ Καλλισθένης οὕτως καλεῖ τὸ δεσμωτήριον. Καλλισθένης (fr. 48 M.) δὲ ἀνώγαιον εἶπε, καὶ οὕτως δεῖ μᾶλλον λέγεσθαι.

---

3 Sui. Ähnlich Phrynichos Bek. 28, 26 **4—6** Vgl. Bekker Note zu Harp. 35, 21 Moeris 188, 14 **7** B 389, 31 A Sui. Hes. **9** B 389, 33 A Sui. **10. 11** Hes. **14. 15** Sui. (mehr), vgl. Eust. 1095, 8 (Schwabe p. 229) aus einem ῥητορικὸν λεξ. Hes. Ἀναβλυστανεῖται **16** A Sui. **17** Sui. **18. 19** Sui. aus Harp. **20—22** Sui. aus Harp. **23. 24** Sui. aus Harp. **25—27** Hes. **28—30** Sui. aus Harp. (mehr als E)

---

10 παράστασιν *b* 13 αὐτὴν *b* 15 παρῳδοῦντες E. Schwartz 16 ἀναδίδουσιν *b*

Ἀναγαγγανεύουϲιν· ἀναβοῶϲιν.

Ἀναγκαία· ἡ ἀνάγκη.

Ἀναγκαῖοι πολεμιϲταί· κατὰ ἀνάγκην πολεμικοὶ γεγονότεϲ γέροντεϲ ὄντεϲ ὅ τε Λαέρτηϲ καὶ ὁ Δόλιοϲ. καὶ οἱ προϲήκοντεϲ κατὰ γένοϲ. Μένανδροϲ Θυρωρῷ· ʿοὐκ ἀδελφὸϲ οὐκ ἀδελφὴ παρενοχλήϲει Τιτθίδᾳ, οὐδὲ ἑώρακε⟨ν⟩ τὸ ϲύνολον θεῖοϲ οὐδ' ἀκήκοεν. εὐτύχημα δ' ἐϲτὶν ὀλίγουϲ τοὺϲ ἀναγκαίουϲ ἔχειν'.

Ἀνάγκη· ἡ δικαϲτικὴ κλεψύδρα.

Ἀνάγκηϲ ἄτρακτον· τὸν ἄξονα λέγει.

Ἀνάγραπτον· τὸ ἀναγεγραμμένον. ἢ τὸ φανερῶϲ γεγραμμένον. ἢ τὸ πᾶϲιν ἐγνωϲμένον.

Ἀναγκόδακρυϲ· ὁ πρὸϲ ἀνάγκην δακρύων καὶ μὴ ἐκ πάθουϲ τινὸϲ ἢ ϲυμφορᾶϲ. Αἰϲχύλοϲ Ξαντρίαιϲ (fr. 418).

Ἀναγυράϲιον· τὴν τρίτην ἐκτείνουϲι καὶ τὴν τετάρτην βραχύνουϲιν. Ἀριϲτοφάνηϲ Ἀναγύρῳ· ʿχαίρειν μὲν Ἅλον τὸν Φθιώτην, χαίρειν δ' ἀτεχνῶϲ Ἀναγυραϲίουϲ'.

Ἀναγυροῦϲ· δῆμοϲ Αἰαντίδοϲ. καὶ Ἀναγυράϲιοϲ δῆμοϲ τῆϲ Ἀττικῆϲ, ἔνθα καὶ φυτὸν δυϲῶδεϲ φύεται. ἦν οὖν καὶ δαίμων· ἐπεὶ τὸν παροικοῦντα πρεϲβύτην καὶ ἐκτέμνοντα τὸ ἄλϲοϲ ἐτιμωρήϲατο Ἀνάγυροϲ ἥρωϲ. Ἀναγυράϲιοι δὲ δῆμοϲ τῆϲ Ἀττικῆϲ. τούτου δέ τιϲ ἐξέκοψε τὸ ἄλϲοϲ. ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἐπέμηνε τὴν παλλακήν, ἥτιϲ μὴ δυναμένη ϲυμπεῖϲαι τὸν παῖδα διέβαλεν ὡϲ ἀϲελγῆ τῷ πατρί. ὁ δὲ ἐπήρωϲεν αὐτὸν καὶ ἐγκατῳκοδόμηϲεν. ἐπὶ τούτοιϲ καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτηϲεν, ἡ δὲ παλλακὴ εἰϲ φρέαρ ἑαυτὴν ἔρριψεν. ἱϲτορεῖ δὲ Ἱερώνυμοϲ ἐν τῷ περὶ τραγῳδοποιῶν (fr. 5 Hiller) ἀπεικάζων τούτοιϲ τὸν Εὐριπίδουϲ Φοίνικα. ὅταν οὖν ἐπὶ οἰκείοιϲ κακοῖϲ πράϲϲῃ τιϲ λέγεται κινήϲειϲ τὸν Ἀνάγυρον.

99r Ἀνάγυρον κινεῖν· τὸ φυτὸν τὸν ὀνόγυρον κινεῖν. | ἔϲτι δὲ

1 Hes. 2 Hes. Ἀναγκαίη (?) 3—7 Zwei Glossen: 1) bis Δόλιοϲ Hes.; 2) Lemma Ἀναγκαῖοι, attizistisch 8 Hes., vgl. Pollux VIII 17 9 Sui. Platoglosse (Rep. X 616c) 10. 11 B 390, 1 A (C = B) Sui., vgl. Hes. 12. 13 aus Phrynichos (Bek. 20, 13) 17—27 Drei Glossen: 1) bis Αἰαντίδοϲ; 2) bis φύεται (18) vgl. Hes. (Sui.); 3) Sui. (das Lemma war Ἀ. δαίμων, zu streichen ist ἦν οὖν) Sprichwort aus zwei Quellen 28—p. 109, 2 Vgl. Sui., vgl. Hes.

2 Trotz Hesych schwerlich Ἀναγκαίη ἀνάγκη zu schreiben, vgl. Phryn. Bek. 73, 31 6 θεῖον *b* 7 ὀλιγοϲτοὺϲ *b* 15 μέναλον *b* ἀναγυραϲίοιϲ *b* 17 Ἀναγύρρουϲ *b* 18 δαϲῶδεϲ *b* 18—20 ἐπεὶ — Ἀττικῆϲ aus der ersten kürzeren Quelle. Anfang der zweiten verstümmelt. 26. 27 πράϲϲῃϲ τι E. Schwartz 27 Ακινήϲειϲ *b* (A rot)

ἀλεξίκακον καὶ δυσῶδες. καὶ τέμενος 'Αναγύρου ἐν τῷ δήμῳ τῶν 'Αναγυρασίων.

'Αναγρύζειν· Κράτης Γείτοσι· 'σὲ δὲ χρὴ σιγᾶν μηδ' ἀναγρύζειν'. καὶ Ξενοφῶν (Oec. 2,11)· 'οὐδ' ἀναγρύζειν μοι ἐξουσίαν ἐποίησας'.

'Ανάγνωσις· ἀναγνώρισις. ἢ ἐπίγνωσις. ἢ ἀνάπεισις. 'Αττικοὶ καὶ Ἴωνες.

'Αναγχίππους· τοὺς ἀναγκαστικοὺς ἱππέας. Εὔπολις Πόλεσι (fr. 394). καὶ 'Αναγχιππεῖν τὸ μετ' ἀνάγκης ἱππεύειν.

'Αναγωγή· ἡ τῶν πραθέντων ἀνδραπόδων ἀνάδοσις ἐχόντων αἰτίαν τινά.

'Ανάγωγος· ὁ μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς.

'Αναγωγότερον· ἁμαρτητικώτερον, ἀτακτότερον.

'Αναγώγῳ· φιληδόνῳ, ἐκλελυμένῳ.

'Αναγώνιστος· ὁ μὴ ἀγωνισάμενος. Ξενοφῶν (Cyr. I 5, 10).

'Αναγωγή· ἐπὶ πλοῦ. Κρατῖνος Ὥραις.

'Ανάδαστα καὶ ἀναδάσασθαι καὶ ἀναδασμός· τὸ κοινῇ ἀναμερίσασθαι πάντα.

'Αναδέσμην· ὅμοιόν τι διαδήματι. ἢ μίτραν κεφαλῆς.

'Αναδεῖ· ἀναπλέκει, στέφει.

'Αναδαιμονίζειν· τὸ ἐκ δευτέρου κληροῦσθαι.

'Αναδήσασθαι· στεφανώσασθαι.

'Αναδήσοντες· στέψοντες. καὶ 'Αναδῆσαι· ταινιῶσαι.

'Αναδέχομαι· ἀναλαμβάνω.

'Αναδιδοῦσαν· ἀντὶ τοῦ ἀναδιδομένην.

'Αναδιδάξαι· πάνυ διδάξαι. ἐπιτατικὴ γάρ ἐστι νῦν ἡ ἀνά.

'Αναδικάσασθαι· τὸ ἄνωθεν ⟨δικάσασθαι⟩. οὕτως 'Ισαῖος (fr. 145 S).

---

6. 7 B 389, 32 Sui. (beide weniger) C: 'A. ἀναγνώρισις. Erweiterung attizist. **8. 9** Vgl. Sui. **10. 11** Schol. Plat. Leg. 916a Hes. **12** B 390, 3 C Sui., vgl. Et. magn. 96, 5 **13** B 390, 4 C Sui. **14** B 390, 5 C Sui. **15** Sui. **16** Hes. **17. 18** Vgl. B 390, 6 C Sui. Hes. 'Αναδάσασθαι **19** B 390, 7 C Sui., vgl. Hes. **20** B 390, 8 C Sui. **21** Hes. **22** B 390, 10 C Sui. **23** B 390, 10 Sui., vgl. Hes. 'Αναδῆσαι **25** Sui. **26** B 390, 12 C Sui. **27**—p. 110, **5** Zwei Glossen: 1) bis ἀνακρινόμεναι: Sui. aus Harp. (vgl. An. Ox. II 489, 13); 2) Glosse 2 berührte sich im Anfangssatz mit dem Schlußsatz des Harp. vgl. Schol. Leg. 987 d.

---

6 ἀναγνώρησις *b* 9 τὸ] τοῦ *b* 12 Lies ἀγωγῆς 19 μήτραν *b* μίτρᾳ C 21 'Αναδεμονίζειν τὸν *b* 22 'Αναδήσασθαι (η aus ει) *b* 23 τενιῶσαι *b* verb. am Rand 26 ἐπιτατικὸν *b*

ἐντεῦθεν καὶ τὸ Ἀνάδικοι κρίσεις· αἱ ἄνωθεν δικαζόμεναι καὶ ἐξ ἀρχῆς ἀνακρινόμεναι. ἐγίνετο δὲ τοῦτο, ἐπειδὰν τῶν μαρτυρούντων ἢ πάντες ἑάλωσαν ψευδομαρτυριῶν ἢ ὑπὲρ ἡμίσεις. οὐ μὴν ἐπὶ πάντων τῶν ἀγώνων ⟨ἀν⟩άδικοι ἐγίνοντο αἱ κρίσεις, ἀλλ' ἐπὶ τριῶν τούτων, ξενίας, ψευδομαρτυριῶν καὶ κλήρων.

Ἀναδενδρᾷς· ἀξιοῖ περισπᾶν Σέλευκος. ἔλεγον γάρ φησι σὺν τῷ ῑ· 'ἐβλάστουν ἀναδενδρᾷδες'.

Ἀνάδοχος καὶ Ἀναδέχεσθαι· Δημοσθένης (z. B. 19, 36). καὶ 'ἀνάδοχον τῶν χρημάτων' Μένανδρος (fr. 516).

Ἀναδούμενος· στέφανον περιτιθέμενος.

Ἀναδοιδυκίζειν· ἀναταράσσειν, ἀνατρίβειν.

Ἀναδῦναι· ἀναχωρῆσαι.

Ἀναδεύειν· φυρᾶν.

Ἀναδρύψει· ἀναξηράνει.

Ἀναδρύματα· θύματα.

Ἀναδρομαί· ἀναβάσεις.

Ἀναδῦναι· ἐκκλῖναι. ἢ ἀναφυγεῖν. ἢ ἀνανήξασθαι καὶ ἀναπνεῦσαι.

Ἀναδύεσθαι· ἀρνεῖσθαι.

Ἀναδυόμενος· φεύγων, ἀναβαλλόμενος.

Ἀναζεύξας· ἀναστάς, ἀναστήσας. Θουκυδίδης η' (108)· 'ἀναζεύξας ἤλαυνεν ἐπὶ τῆς Ἰωνίας.'

Ἀναζυγαῖς· ἀναστροφαῖς, στρατοπεδείαις.

Ἀναζυγῶσαι· τὸ τὰς θύρας ἀναπετάσαι.|

99v Ἀναζωπυρῆσαι· ἀνανεῶσαι, ἀνεγεῖραι, ζωῶσαι.

Ἄνθης· ἀνθήσεως.

⟨Ἀναθέσθαι⟩· Ἀντιφῶν ἐν τῷ περὶ Προνοίας (fr. 106 Bl.) φησίν· 'ἀναθέσθαι ὥσπερ πεττὸν τὸν βίον οὐκ ἔστιν,' ἀντὶ τοῦ ἄνωθεν βιῶναι μετανοήσαντας ἐπὶ τῷ προτέρῳ βίῳ.

---

8. 9 Vgl. Sui. (entgegengesetzt Hesych Ἀνάδοχος) **10** B 390, 9 C Sui. **11** Hes., vgl. Et. magn. 96, 7 **12** B 390, 14 C Sui., vgl. Hes. **13** Sui. **14** Hes. **15** Hes. Ἀναδρύγματα Schol. Plat. Tim. 21 b **16** Sui. **17** Hes. (kontaminiert aus Cyrill = Z. 12 oben) **19** B 390, 15 C Sui. **22** B 390, 16 C Sui. **23** Vgl. Et. magn. 96, 22 **24** B 390, 17 C Sui. **25** Sui. Hes., vgl. Phrynichos (Bek. 12, 30), zu Plato Phaedr. 230 b **26—28** Sui. aus Harp.

---

11 Ἀναδοιδικίζειν *b* 13 Ἀφυρᾶν *b* (A rot) 14 Lies ἀναξανεῖ Dind. 15 Lies Ἀναρρύματα E. Schwartz 17 ἀναφυγὴν *b* 20 ἤλαυνεν aus ἔλ. *b* ἀπὸ τῆς γωνίας *b* 25 Lies περὶ ὁμονοίας

Ἀναθερμαίνειν τὰς φρένας, τὴν γνώμην, τὸν νοῦν· οἷον ἀνακινεῖν, ἀνιᾶν, ἀναταράττειν. Σοφοκλῆς.

Ἀναθέντας· ἀντὶ τοῦ ἐπιθέντας. Ξενοφῶν (An. III 1, 30).

Ἀναθεῖναι καὶ ἐπαναθεῖναι τὸ αὐτό. Ἀραρὼς (fr. 17) ἔφη.

Ἀναθηλήσει· ἀναβλαστήσει.

Ἀνάθημα καὶ πάντα τὰ τοιαῦτα διὰ τοῦ η̄ Ἀττικοί.

Ἀναθολῶσαι· ἀναταράξαι. Νόμων ζ′ Πλάτων (824 b)· ‘ὅπως ἀναθολώσῃ’. κυρίως δὲ ἐπὶ τῆς σηπίας τὸ μέλαν θόλος καλεῖται.

Ἀναθορεῖ· ἀνατρέχει.

Ἀναθρούμενα· ἀνασκοπούμενα.

Ἀναθρώσκει· ἀναπηδᾷ.

Ἀναθυᾶν· ἀνασκιρτᾶν. καὶ αὖθις ἐξ ἀρχῆς ἀνανεάζειν.

⟨Ἀ⟩ναθύοντες· ἀναιροῦντες, παραβαίνοντες.

Ἀναθύειν· τὸ ἀναλαμβάνειν τὸ πρᾶγμα διὰ χρόνου. Φερεκράτης (fr. 35)· ‘πάλιν αὖθις ἀναθύωσιν αἱ γεραίτεραι’.

Ἄναια· οἱ ἄλλοι οὐδετέρως. Θουκυδίδης η′ (19) τὴν Ἀναίαν.

Ἀναίδεια καὶ ἄγνοια καὶ πάντα τὰ τοιαῦτα ἐκτείνοντες προφέρονται τὴν τελευταίαν οἱ παλαιοὶ Ἀττικοὶ καὶ Ἴωνες, μεταβάλλουσι δ’ οἱ Ἴωνες τὸ τελευταῖον ᾱ ἀναιδείη καὶ ἀγνοίη· (Π 498) ‘σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος’ καὶ Ἀνακρέων ‘νεότης τε καὶ ὑγιείη’. καὶ ἀναρροίη δὲ καὶ εὐπλοίη καὶ τὰ ὅμοια ἅπαντα παρὰ τοῖς Ἴωσιν ἐκ μακροῦ τοῦ ᾱ μετείληπται εἰς τὸ η̄.

Ἀναιδὲς καὶ θρασὺ βλέπειν· ἀναιδὴς μὲν καὶ θρασὺς καθωμίληται. τὸ δὲ πρῶτον καινῶς εἴρηκε Κρατῖνος. ἡ λέξις Φρυνίχου.

Ἀναίδην· ἀπηρυθριασμένως, ἀθρόως, σφοδρῶς.

Ἀναίμονες· ἀναίματοι.

---

1. 2 aus Phrynichos (Bek. 28, 22 der hiernach zu verbessern) **3** Sui. **4** Sui. (mehr) **5** B 390, 18 C Sui. **6** Vgl. Moeris 188, 30 Bek. **7. 8** Sui. **9** Vgl. Hes. (wo ἀνατρέχει zu schreiben) **10** B 390, 19 C Sui. **11** C Sui. **12** Hes. Ἀναθύειν (hiernach zu verbessern), vgl. Phrynichos Bek. 33, 20 **13** Hes. **14. 15** Sui., vgl. Et. cod. D. (Gaisf. col. 266 D) **16** Vgl. Steph. Byz. p. 92, 8 Mein. καὶ θηλυκόν. Der Autor las ἐς Ἀναίαν **17—22** aus Aelius Dion. (vgl. Eust. 1579, 25) **23—25** aus Phrynichos (Bek. 10, 7) **26** B 390, 20 C Sui. **27** C Sui.

---

2 ἀνιᾶν verdorben 4 ἄραρος *b* 7 Ανόμων *b* (A rot) 7 Lies ὀπῶν ἀναθολώσει 8 Lies ⟨ἧς⟩ τὸ μέλαν 9 Ἀναθρεῖ *b* 20 ἔγωγε *b* 21 ὑγείη *b* 24 τὸ δὲ ᾱ *b*

’Αναιμωτί· ἄνευ αἵματος.

’Αναίνομαι· ⟨ἀ⟩παρνοῦμαι, προΐεμαι.

’Αναίνεσθαι· κοινῶς μὲν τὸ ἀρνεῖσθαι, ἰδίως δὲ ἐπὶ τοῦ κατὰ τοὺς γάμους καὶ τὰ ἀφροδίσια.

’Αναιρεθείς· ἀντὶ τοῦ ἀναληφθεὶς καὶ τραφείς. οὕτως ’Ισοκράτης (5, 66).

’Αναιρεῖν· τὸ ἐν γαστρὶ συλλαβεῖν, καὶ τὸ τεχθὲν ἀνατρέφειν, καὶ τὸ φονεῦσαι, καὶ τὸ ἀναλαβεῖν, καὶ ἔτι τὸ ἀπολλύναι, καὶ τὸ αἴρειν ἢ προσενέγκασθαι. καὶ τὸ κυΐσκειν, καὶ τὸ ἀμέλγεσθαι.

’Αναισιμοῦν· δαπανᾶν, ἀναλίσκειν.

’Αναισιμώματα· ἀναλώματα.

’Αναίτιος εἶναι ἀφροσύνης (Xenoph. Cyr. I 5, 10)· ἀντὶ τοῦ ⟨ἀ⟩νέγκλητος ἐπὶ ἀφροσύνῃ.

’Ανακάθαρσις· ἐπίλυσις, διευκρίνησις.

’Ανακούς· τοὺς Διοσκούρους λέγουσιν, ὡς Αἰακούς. καὶ κατεύ-
100r χονται οὕτως, καὶ | ‘⟨ἀ⟩νακοῖν Διοσκούροιν’ περισπῶντες.

’Ανακαθίσαι· ὡς ἐν τῇ συνηθείᾳ λέγομεν ⟨ἐπὶ⟩ τῶν πρὸς ὀλίγον διεγειρομένων. Πλάτων (Phaed. 60 b).

’Ανακαλυπτήρια· δῶρα διδόμενα ταῖς νύμφαις παρά τε τοῦ ἀνδρὸς καὶ τῶν οἰκείων ⟨καὶ⟩ φίλων, ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται ἀνδράσιν ὁραθῆναι. ἔστι δὲ ταῦτα καὶ ἐπαύλαια.

’Ανακές· τὸ ἀνίατον. Εὔπολις (fr. 21). οἳ δέ βαρέως, οἷον ἀνωφελές.

’Ανάκεια· ἑορτὴ Διοσκούρων.

’Ανακῶν· τῶν Διοσκούρων, ἀπὸ τῆς ἀνακοί εὐθείας περισπωμένως.

’Ανακεφαλαιοῦται· ἀναπληροῦται, ἀνακτίζει.

’Ανακῶς· ἐπιμελῶς, φυλακτικῶς, πεφροντισμένως. Πλάτων Φάωνι (fr. 202).

---

1 B 390, 21 Sui. **2** B 390, 22 Sui. C (προΐεμαι fehlt) **3. 4** Sui. aus Harp. **5. 6** Sui. aus Harp. (vgl. An. Ox. II 489, 14) **7—9** B 390, 23 C Sui. (nur bis προσενέγκασθαι), vgl. Hes. **10** Sui. (mehr) Hes. **11** Hes. **12. 13** Sui. **14** B 390, 29 C Sui. **15. 16** aus Aelius Dion. vgl. Eust. 1425, 59 (Schwabe p. 111) **19—21** Sui. aus Harp. (vgl. An. Ox. II 489, 16); etwas anders B 390, 26 **22** Vgl. Moeris 191, 20 Bek. **23** aus Pausanias vgl. Eust. 1425, 61 (Schwabe p. 112) **24** B 390, 30. 31 C Sui. **26. 27** C: ’Α. φυλακτικῶς ἢ βασιλικῶς ἔχειν φροντίζειν vgl. Eust. 1425, 58 (Schwabe p. 111) vgl. auch Moeris 189, 22. Et. gen. (aus Methodios): ’Α. ἐπιμελῶς καὶ πεφροντισμένως καὶ πεφυλαγμένως.

---

11 ’Αναισιμώτατα *b* 12 ἀφροσύνη *b* παρὰ oder ἐπὶ ἀφρ. Sui. 14 διευκρινῆς *b* 17 Wohl ’Ανακαθίσασθαι 22 ῎Ανακες *b*

Ἀνακορεῖν καὶ κορεῖν· Φερεκράτης Δουλοδιδασκάλῳ· ʽῥαίνειν, ⟨ἀ⟩νακορεῖν ἀγοράς'.

Ἀναιτίατος· Ἴων Ἀργείοις· ʽοὐδεὶς ἀναιτίατος ἀγγέλλων κακά'.

Ἀναίσχυντος καὶ σιδηροῦς ἄνθρωπος· ἐπὶ τῶν ἀπηρυθριακότων καὶ μηδεμίαν μεταβολὴν τρόπου ποιουμένων.

Ἀνακαλλύνειν· τὸ σαίρειν, ὅπερ καὶ ἀνακορεῖν λέγεται, καὶ εἰκότως· κάλλυντρον γὰρ καὶ κόρημα καλοῦσι τὸ σάρον. Φρύνιχος Ποαστρίαις· ʽσὺ δ' εἰσιοῦσα δουλικῶς ἐνσκεύασαι καὶ τἄνδον ἀνακάλλυνον'.

Ἀνάκειται σκώμμασιν, ἀνάκειται λοιδορίαις, ἀνάκειται πόρνοις, κύβοις, συμποσίοις· σημαίνει δὲ τὸ οἷον πρόσκειται ἰσχυρῶς.

Ἀνακεχυμένη· ἀνετή.

Ἀνακαλπάζει· τινὲς μὲν ὡς οὐ δόκιμον ἐφυλάξαντο τὴν φωνήν, Αἰσχύλος δὲ ἐχρήσατο Μυσοῖς ὡς δόκιμον· λέγει γάρ· ʽεἶδον καλπάζοντας ἐν αἰχμαῖς'. ὁμοίως Σοφοκλῆς, Ἀριστοφάνης καὶ Πλάτων καὶ ἕτεροι.

Ἀνακηρυχθῆναι· Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου (60)· ʽμὴ ἀνακηρυχθῆναι αὐτῶν τὴν βδελυρίαν'.

Ἀνακηκεῖ· ἀναπηδᾷ.

Ἀνάκλητος· ὁ μετακληθείς. Σοφοκλῆς.

Ἀνακλῖναι· ἀνάξαι. Ὅμηρος (χ 156). οὕτως Ἡρῳδιανός.

Ἀνακομιδή· ἀναγωγή, ἐπάνοδος.

Ἀνακογχυλιάσαι· ἀναγαργαρίσασθαι.

Ἀνακωχή· ἀνάπαυσις.

Ἀνακῶς· βασιλικῶς.

---

1. 2 Vgl. Z. 6—9 **4. 5** aus Phrynichos **6—9** aus Phrynichos (Bek. 14, 12) **10—12** Sui. aus Phrynichos **13** B 390, 32 C 1 vgl. Sui. **14—17** aus Phrynichos (vgl. φωνή) **20** Sui. aus Timaios **21** aus Phrynichos (vgl. Bek. 27, 22) **22** B 390, 33 Sui. Hes. C: Ἀνακλῖναι· ἀνάξαι Et. magn. 96, 57 **23** B 391, 1 C Sui. **24** Sui. Hes. aus Timaios (vgl. Schol. Plat. Symp. 185 d) **25** B 391, 2 C Sui. Hes. **26** C, vgl. B 391, 7 Sui.

---

8 ἐνεσκεύασαι *b* 8. 9 ἀνακάλλυναι *b* 15 vielleicht ἰδών (Schluß eines Glykoneus, dann Pherekrateus) 19 ἀνακηρυχθῇ αὐτῶν ἡ βδελυρία Aesch. βδελλυρίαν *b* 20 Ἀνακηκεῖ auch Sui., lies ἀνακηκίει 21 μεταμεληθείς *b* 22 ἀνοῖξαι B Sui. richtig Ἡρόδοτος Sui. richtig 23 Ἀνακο|Αμῆδή *b* in Zeilentrennung (zweites A rot) 24 ἀναγαργαρήσασθαι *b* 25 Ἀνάκως *b*

Ἀνακοινώcαcθαι καὶ ἀνακοινῶcαι· ἄμφω λέγουcι. Ξενοφῶν δὲ καὶ ἀνεξυνοῦτο ἐν ταῖc Ἑλληνικαῖc (I 1, 30).

Ἀνακραγγάνειν· λέγουcιν, οὐκ ἀνακραυγάζειν, καὶ ἀνέκραγε. καὶ παρὰ Μενάνδρῳ· 'ἤκουcα τῶν ἐκκραγγανομένων'.

Ἀνάκριcιc· ἐξέταcιc ὑφ' ἑκάcτηc ἀρχῆc γινομένη πρὸ τῶν δικῶν περὶ τῶν cυντεινόντων εἰc τὸν ἀγῶνα. ἐξετάζουcι δὲ καὶ εἰ ὅλωc εἰcάγειν χρή.

Ἀνακρουόμεθα· οἷον ἀναπροοιμιαζόμεθα.

Ἄνακτεc καὶ ἄναccαι· Ἀριcτοτέληc ἐν τῇ Κυπρίων πολιτείᾳ (fr. 483)· 'καλοῦνται δὲ οἱ μὲν υἱοὶ καὶ ἀδελφοὶ τοῦ βαcιλέωc ἄνακτεc, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκεc ἄναccαι.'

Ἀνακτορία· δεcποτεία.

Ἀνακτόριον· ἱερόν.

Ἀνακτόρων· ἱερατειῶν.

Ἀνακωχεύειν· τὸ ἐν πελάγει χειμῶνοc ὄντοc cτήcανταc τὰ

100v ὀθόνια cαλεύειν. μετα|φορικῶc δὲ ἐπὶ τοῦ ἅρματοc εἴρηκε Σοφοκλῆc ἐν Ἠλέκτρᾳ (733).

Ἀνακτᾶcθαι· Θουκυδίδηc (VI 92). καὶ ἀντὶ τοῦ θεραπεύειν. τίθεται δὲ ἡ λέξιc καὶ ἐπὶ τοῦ τὸ προαπολωλὸc αὖθιc κτήcαcθαι καὶ ἀπολαβεῖν.

Ἀνακωχῆc· ἀναπαύcεωc, ἐνδόcεωc, τῆc πρὸc μικρὸν ἐν πολέμῳ εἰρήνηc. εἴρηται δὲ παρὰ τὸ ἄνω τὰc ἀκωκὰc ἔχειν.

Ἀναλγήτωc· ἀναιcθήτωc, ἀπόνωc. καὶ Ἀναιcθηcία· ἡ ἀναλγηcία.

Ἄναλδεc· ἄναυξεc, ἄτροφον.

Ἀνάλημμα· ὕψωμα, cτήριγμα.

Ἀναλέγειν· τὸ cυλλέγειν χαμόθεν καὶ ἀνοικοδομεῖν.

---

1. 2 Sui. **3. 4** Hes. Ἀνακραγγαίνειν (hiernach zu verb.), vgl. Sui. Ἐκκραγγανομένων· μετὰ κραυγῆc λεγομένων **5—7** Sui. aus Harp. **8** Sui. zu Plat. Phileb. 13 d **9—11** Sui. aus Harp. **12** Hes. C und Sui.: Ἀνακτορίαν· δεcποτείαν **13** B 391, 4 C Sui. **14** B 391, 6 Sui. **15—17** Vgl. Sui. (und mit ihm Hes.) Zwei Teile: 1) bis cαλεύειν B 391, 9 C (vgl. Et. magn. 96, 50) **18—20** Sui. **21. 22** B 391, 11 C Sui., vgl. Hes. **23. 24** B 391, 14 C, vgl. Sui. **25** Hes. Ἄναλδοc (richtig von Schmidt zu Ἄναλδεc verb., interpoliert aus Ἄναλθεc) **26** B 391, 16 C Sui., vgl. Hes. **27** Vgl. Hes.

---

2 ἀνεξοινοῦτο *b* 14 ἱερατείων B Lies ἀνακτόριον· ἱεράτειον 15 ὄνταc *b* 18 θουκυδίδηc] an den Schluß zu stellen καὶ am Rande rot *b* 20 ἀπολαύειν *b*

'Αναλαβεῖν· ⟨οὔτ⟩ως φαςὶν ἐπὶ τῶν νενοςηκότων. Πλάτων ἐν Σοφισταῖς.

'Αναλεῖ· ἀνειλεῖ τὸ βιβλίον.

"Αναλθες· ἀνίατον, ἀνυγίαςτον, ἀναίςθητον.

'Αναλκής· ἄνανδρος, ἀςθενής.

"Αναλτος· ἀπλήρωτος, παρὰ τὴν ἄλςιν καὶ τὴν ἐκ τῆς αὐξήςεως τελειότητα, παρ' ὃ καὶ ἄλςη τὰ κατάφυτα χωρία. πλήρωςις γάρ τις ἡ θεραπεία τοῦ πεπονθότος καὶ λείποντος, ὅθεν καὶ τὸ θεραπεύεςθαι ἄλθεςθαι λέγουςι.

"Αναλτος· βραχεῖα ἡ μέςη.

'Αναλίςκειν καὶ ἀναλοῦν ἑκατέρως. καὶ ἀναλῶν 'Αριςτοφάνης Πλούτῳ (248). ἐν δὲ τῷ παρεληλυθότι καὶ διὰ τοῦ η̅, οἷον ἀνήλιςκον, καὶ ⟨διὰ του α̅, οἷον⟩ ἀνάλιςκον, καὶ ⟨ἀ⟩νάλουν.

'Αναλοῦντες· ἀντὶ τοῦ ἀναιροῦντες. Θουκυδίδης (IV 48)· καὶ ἀναλῶν, καὶ ἀναλοῦν (II 24) τὸ ἀναιρεῖν. καὶ ἀνάλωμα ὁ αὐτός (I 99).

'Αναλύειν· τὸ ἑτέροις φαρμάκοις καθαίρειν τὸν πεφαρμαγμένον.

'Αναλύζειν· σημαίνει τὸ μετὰ βίας καὶ οἷον λύζων κλαίειν, τοῦ πνεύματος ἐνιεμένου πολλοῦ ταῖς ἀρτηρίαις.

'Αναλυθῆναι· τὸ καθαρμῷ τινι χρήςαςθαι φαρμάκων. Μένανδρος Ἥρῳ (fr. 213)· 'ἐπεφαρμακεύςω γλυκύτατ' ἀναλυθεὶς μόλις'.

'Αναλῦςαι· τὸ δι' ἐπῳδῆς τινα τῆς βλάβης ἀπαλλάξαι.

'Αναλογιςμοί καὶ 'Αναλογίζεςθαι καὶ τὰ ἐξ αὐτοῦ Πλάτων (Prot. 332 d) εἴρηκεν· 'ἀναλογιςώμεθα τὰ ὡμολογημένα ἡμῖν'. καὶ Θουκυδίδης (V 7)· 'ἀναλογιζόμενος πρὸς οἵαν ἐμπειρίαν'. καὶ ἀνελογίζοντο· ὁ αὐτός (VIII 83).

'Αναλώματα νόμιμα· ὁ Δημοςθένης.

'Αναλφάβητος· ἐδόκει μὲν εἶναι εὐτελές. Νικοχάρης δὲ αὐτὸ

---

3 Vgl. Phrynichos Bek. 19, 14 'Ανίλλειν βιβλίον **4** Hes. **5** Hes., vgl. Sui. "Αναλκις **6—9** Vgl. Hes., vgl. Sui. Die Erklärung ist ähnlich wie bei Phrynichos in 'Ακοῦςαι ὀργῶ oben S. 64, 4 **10** Wohl Fortsetzung (aus Phrynichos?) **11—13** Sui. (mehr) aus Phrynichos (?) **14. 15** Sui. **19. 20** Sui. **21** Vgl. Hes. **27**— p. 115, **2** aus Phrynichos

---

3 Lies 'Ανείλλει 6 ἀναπλήρωτος *b* 6 ἄλςιν auch Hes. (hierdurch gesichert, lies ἄλςιν) 7—9 πλήρωςις κτλ. erläutert die Erklärung ἀνίατον (so bei Hesych. für ἱκανόν zu schreiben) 14 καὶ ἀναλῶν (auch Sui.) wohl Wiederholung aus Z. 11 17 λυττῶν *b* verb. E. Schwartz 19 φαρμάκωι *b* (gegen die Gewohnheit) φαρμάκων Sui (?) Αμένανδρος *b* (A rot) 20 ἥρωςι *b* 27 νικόχαρης *b*

ἐποίηcεν ἀρχαῖον χρηcάμενοc ἐν Γαλατείᾳ οὕτωc· ʻτὸν ἀναλφάβητον, τὸν ἄπονον'. ταῦτα ὁ Φρύνιχοc.

᾿Ανάλφιτον· Φιλύλλιοc Αἰγεῖ (fr. 2 K.).

᾿Αναμφίδοξον· ἀναμφίβολον.

᾿Αναμάθω· ἐξ ἀρχῆc μάθω.

᾿Αναμάττεcθαι· ἀναφυρᾶν.

᾿Αναμέλποντεc· ἀνυμνοῦντεc.

101r ᾿Αναμετρή|cαιμι· διεμπεράcαιμι.

᾿Ανὰ μέροc· ἀντὶ τοῦ ἐν μέρει.

᾿Αναμηρύcαcθαι· ἀνατεῖναι.

᾿Αναμίλλητον· ἀφιλόνεικον.

᾿Αναμύειν· ἀναβλέπειν.

᾿Αναμιλώcαιμι· ἀναγλύψαιμι.

᾿Ανανεοῦcθαι· ἀναμιμνήcκεcθαι. πεποίηται δὲ ἀπὸ τῶν τοῖc πέντε δακτύλοιc τῆc χειρὸc cυνεχὲc ἀριθμούντων καὶ ἐπαναλαμβανόντων οἱονεὶ κατὰ πεντάδα ἀριθμούντων. καὶ ἀνανεοῦcθαι ὡc ἡμεῖc Θουκυδίδηc ε′ (18) καὶ Πλούτοιc Κρατῖνοc (fr. 167).

῎Ανατα· ἄνω. ἀνωφερῆ. ὑψηλά. δυcχερῆ. τινὲc τὰ μὴ βεβρεγμένα, Σοφοκλῆc δὲ ᾿Ινάχῳ (fr. 272) τὰ μὴ ἐκκεκομμένα, παρὰ τὸ αἴνειν, ὅ ἐcτι κατακόπτοντα πτίccειν. ᾿Αρίcταρχοc δὲ ἐνταῦθα γράφει ἑνικῶc ἄνατα, ἀντὶ τοῦ ἄνευ βλάβηc.

῎Ανανδροc· ᾿Ιcοκράτηc Εὐαγόρᾳ (66) καὶ Δημοcθένηc ἐν τῷ κατὰ Τιμοκράτουc (53)· ʻτὸ μὲν γὰρ χρηcτῶν, τὸ δὲ ἀνάνδρων ἀνθρώπων ἔργον ἐcτί'. καὶ ῾Υπερείδηc ἐν τῷ κατὰ Δημοcθένουc.

᾿Ανανταγωνίcτῳ εὐνοίᾳ τετίμηται· Θουκυδίδηc β′ (45).

᾿Ανάνιοc· ὑπερήφανοc, ἄλυποc.

---

3 Sui. (danach zu berichtigen Bek. 83, 18) **5** C Sui. Hes. **6** B 391, 19 C Hes. **7** B 391, 20 C Sui. Hes. **8** B 391, 21 C Sui. Schol. Plat. Epist. 345 d **9** Hes. **10** B 391, 22 C Sui. **11** B 391, 23 C Sui. Hes. **12** B 391, 24 C Sui. Hes. **13** Vgl. Hes. ᾿Αναμηλῶcαι· μή⟨λη⟩ ἀναγλῦψαι **14—17** Zwei Glossen: 1) bis ἀριθμούντων gleich Sui. Gl. ᾿Αναπεμπάζειν (das Lemma durch Zufall verloren); 2) ᾿Ανανεοῦcθαι Sui. **18—21** Zwei Glossen: 1) bis δυcχερῆ (mit Ausschluß von ὑψηλά) B 391, 25 C Sui. Et. magn. 98, 27; 2) ὑψηλά und Forts. Hes. **25** aus Phrynichos (?) **26** Hes., vgl. Et. magn. 97, 43

---

8 ᾿Αναμετρήcαιμι[οι] *b* διεμπεράcαμε C διεκπεράcοιμι B richtig **10** ἀνακτεῖναι *b* 12 Lies ᾿Αναμηλῶcαι μήλῃ ἀναγλύψαι 18 ὑψηλά am Seitenrand *b* τινὲc—βλάβηc am obern Rand *b* ἐκκεκομένα *b*

Ἄναξ θηλυκῶς· οὕτως Αἰσχύλος (fr. 342).

Ἀναξαγόρας· σοφιστής, Ἡγησιβούλου υἱός, Κλαζομένιος. Νοῦς δὲ ἐπεκαλεῖτο, ἐπειδὴ ὕλην καὶ νοῦν πάντων φρουρὸν εἶπεν. οὗτός ἐστιν ὁ τὸν ἥλιον εἰπὼν μύδρον διάπυρον.

Ἀναξίβιος· Λακεδαιμονίων στρατηγός.

Ἀναξίαν· βασιλείαν. Αἰσχύλος (fr. 283).

Ἀναξιδώρα· ἡ ἀνάγουσα καὶ ἀνιεῖσα τοὺς καρποὺς ἐκ γῆς Δημήτηρ. Σοφοκλῆς δὲ καὶ ἀναγαγεῖν ἀμπελῶνάς φησιν.

Ἀνάξοιτο· ἀνασχήσοι. Ξενοφῶν (Hell. II 1, 22).

Ἀναξυρίδας· φιμινάλια, βρακία. ἢ τὰ βαθέα καὶ ἄβατα ὑποδήματα.

Ἀνὰ οὐλαμόν· κατὰ τὸ ἄθροισμα.

Ἀναπάλλει· ἀναπηδᾷ, ἀνασείει.

Ἀνάπαλιν· τὸ τὰ ἔσχατα πρῶτα λέγειν ἢ πράττειν.

Ἀνάπαυλαν· ἀνάπαυσιν.

Ἀναπαύεσθαι· τὸ κατακλίνεσθαι ὡς πρὸς ὕπνον.

Ἀνάπαιστα· κυρίως τὰ ἐν ταῖς παραβάσεσι τῶν χορῶν ᾄσματα, καὶ ἰδίως τὰ τῶν ῥυθμῶν. ἔστι δὲ καὶ ὁ ἀνάπαιστος ὄνομα μετρικοῦ ποδὸς λεγόμενος ἀρρενικῶς.

Ἀναπατάξασθαι· ἀνακρούσασθαι ᾆσμα.

Ἀναπαντῶσιν· ἀνακύπτουσιν.

Ἀναπαιστρίδες· σφῦραί τινες παρὰ τοῖς χαλκεῦσιν.

Ἀναπεμπαζόμενοι· ἀριθμούμενοι, σκεπτόμενοι. καὶ τὰ ἐξ αὐτοῦ. Πλάτων (Leg. IV 724b).

Ἀναπεμπάσαι· ἀνασκέψασθαι, ἢ ἀριθμῆσαι.

Ἀναπεμπάζεσθαι· ἐπαναλαμβάνειν τὰ εἰρημένα.

⟨Ἀ⟩ναπεποιημένης· ⟨ἀ⟩ναπεφυρμένης, ἐζυμωμένης.

---

1 Sui. **2—4** Sui. aus Harp. **5** Sui. aus Harp. **6** Hes. **7. 8** Hes. **9** Sui. **10** B 391, 27 C Sui. Hes. (vgl. Et. magn. 98, 1) **11** B 391, 29 C, vgl. Hes. **12** B 391, 32 Sui. C (ἀνασείει fehlt) **13** Vielleicht zu Plato Phaidr. 264 a **14** Sui. Hes. C Ἀνάπαυλα· ἀνάπαυσις **15** Sui. (im Lemma Ἀναπαύεσθαι zu schreiben) **16—18** Sui. Hes. bis ῥυθμῶν **19** Hes. **20** Hes. **21** Hes. **22. 23** B 392, 1 C Sui. (bis σκεπτόμενοι) **24** Dagegen Thomas Mag. **25** Hes. aus Timaios (anders Miller Mélanges 400). Et. gen. A. ἐπαναλαμβάνειν. ἢ ἀναλέγεσθαι καὶ ἀναπέμπειν (ohne Quellenangabe) **26** B 392, 2 C Sui., vgl. Hes.

---

8 καὶ vor σοφ. *b* 10 Ἀναξιρίδας *b* 16 Ἀνάπεστα *b* Ἀνάπαιστοι Sui. falsch ἀνάπεστος *b* 20 Ἀναπαντοῦσιν Hes. Denkbar Ἀναπαπταίνουσιν 21 Ἀναπεστρίδες *b* 22 ἀναριθμούμενοι B Sui. 26 ἀναπεφυραμένης *b* Hes. gegen B Sui. C



'Αναπετῶ· ἀναπετάcω. Μένανδρος Θεοφορουμένῃ.

'Αναπεφλαcμένον· ἀνατεταμένον ἔχων τὸ αἰδοῖον· ἀναφλᾶν γὰρ λέγουcιν οἱ 'Αττικοὶ τὸ ἀναμαλάccειν τὰ αἰδοῖα.

'Αναπῆξαι· ἀνεγεῖραι.

'Ανάπηρον· οὐδὲν πλέον cημαίνει τοῦ πηρός.

⟨'Ανάπηρον⟩· νοcώδη. ἢ λυπηρόν.

'Αναπηδύουcα· ἀναπηδῶcα.

'Ανάπηρον ψυχήν· τὴν ἐπιβλαβῆ, μὴ ὑγιαίνουcαν, ἀλλὰ cεcινωμένην καὶ ἀχρείαν. |

101v 'Αναπηρόβιος ⟨ἐν⟩ ὀργῇ· Φρύνιχος· 'ἐν χαλεπαῖc ὀργαῖc ἀναπηροβίων ⟨τρι⟩γερόντων'.

'Αναπίπτειν· τὸ ἀθυμεῖν λέγεται παρὰ τοῖc παλαιοῖc.

'Αναπίμπλαται· ἀναπληροῦται.

'Αναπίπτειν· οὐ τὸ κατακλίνεcθαι, ἀλλὰ τὸ μεταμέλεcθαι καὶ μετατίθεcθαι καὶ ἀποκνεῖν. Θουκυδίδηc α' (70)· 'καὶ νικώμενοι ἐπ' ἐλάχιcτον ἀναπίπτουcιν'.

'Ανάπλαcμα· cχῆμα.

'Ανάπλεωc· λέγουcι δὲ καὶ ἀνάπλεοc καὶ ἀναπλέα (Plato Phaid. 83d).

'Αναπλήcαc· ἀναπληρώcαc. ἢ μολύναc, ὡc Πλάτων.

'Αναποδίζειν· τὸ ἐξετάζειν καὶ ὡcανεὶ cυγκρούειν. 'Ηρόδοτοc (V 92).

'Αναπόδραcτον· ἄφευκτον.

'Αναπόμπιμα δῶρα· τὰ ἀποcτρεφόμενα.

'Αναπόνιπτοc ⟨καὶ⟩ ἄνιπτοc· διττῶc λέγεται. Φρύνιχοc Τραγῳδοῖc· 'ἄcιτοc, ἄποτοc, ἀναπόνιπτοc'.

---

1 Sui. (mehr, doch gegen die Vorlage schon verkürzt; er zitiert 'Αλιεῖc, Cυνερῶcα 'und andere', Photios nur einen Titel aus den letzteren) **2. 3** Hes. vgl. Et. magn. 98, 43 **4** Hes. **5** Gegen Sui. (Bek. 183, 13; 216, 15): ὁ καθ' ὑπερβολὴν πεπηρωμένοc **8. 9** Sui. (Platoglosse) **10. 11** aus Phrynichos (?) **12** Sui. aus Herodians Symp. (?) vgl. Athen. I 23 b, aber auch Eust. 1641, 6 **13** B 392, 4 C Sui. **14—16** Sui., vgl. Athen. I 23 b Eust. 1641, 6 **17** B 392, 5 C Sui. **20** Sui. Zwei Teile: 1) bis ἀναπληρώcαc B 392, 6 C **21. 22** Sui., vgl. Hes. Et. cod. D. (Gaisf. col. 267 G) **23** B 392, 9 C Sui. (mehr), vgl. Hes. **24** Sui., anders Eust. 757, 17

---

4 ἀνεγεῖραι] ἀναπεῖραι Schmidt 6 am untern Rand *b* 7 Lies 'Αναπιδύουcα 8 ἐπὶ βλάβῃ *b* 10 ὀργή *b* 14 'Αναπίπτει *b* 18 ἀνάπλεα *b*

Ἀναποδιζόμενα· ἐξεταζόμενα. ἢ ἄνωθεν πολλάκις τὰ αὐτὰ λεγόμενα ἢ πραττόμενα.

Ἀνάποινος· ἄνευ λύτρων. Κυρηναῖοι δὲ ὁ μάταιος.

Ἀναπολεῖ· ἀναμιμνήσκεται.

Ἀναπόνιπτον· ἀνεξάλειπτον.

Ἀναπτεροῖ φόβος, ἢ λόγος, ἢ ἔπαινος, ἢ λοιδορία. Σοφοκλῆς Κρεούσῃ· 'τί δ' ὦ γεραιέ; τίς σ' ἀναπτεροῖ φόβος';

Ἀναπτερώσας· μετεώρους ποιήσας, προθυμοποιήσας.

Ἀναπρήσας· ἀναφυσήσας, ἀναπέμψας, ἀνενέγκας.

Ἀνεπτερῶσθαι τὴν ψυχήν· οἷον ⟨ἀ⟩νασεσοβῆσθαι. Κρατῖνος (fr. 384) καὶ Εὔπολις (vgl. fr. 314).

Ἀνάπτειν· περιτιθέναι. ἢ ἀνατιθέναι.

Ἀναπτησιοκέρως· Ἀττικῶς τὸν ἴκτινον.

Ἀναπτήτω· πετασθήτω.

Ἀναπτομένας· ἀναπετασθείσας.

Ἀναπτύξω· ἀντὶ τοῦ ἐπιδείξω. Εὐριπίδης (Herc. 1256).

Ἀνάπτυξις· ἑρμηνεία, διασάφησις.

Ἀνάπτυστα· ἔκπυστα, δῆλα.

Ἀνάπυστα· ἀνεκλάλητα, ἀνεξάκουστα. ὁ δὲ Ἡλιόδωρος ἀνάγγελτα καὶ ἄρρητα. ἢ ἐξάγγελτα καὶ ἔκδηλα καὶ ἐξάκουστα.

Ἀναπτυχαί· ἀνατολαί.

Ἄναρ· ἤκουσα. Κρῆτες. οἱ δέ ὄναρ.

Ἄναρθρα. ἀτύπωτα, ἀτράνωτα. λαμβάνεται δὲ ἐπὶ συλλαβῆς

---

1. 2 Sui. aus Harp. (vgl. An. Ox. II 489, 19) 3 Zwei Teile: 1) bis λύτρων B 392, 7 C Sui. Vgl. Hes. Ἀνάποινος und Ἀνάπυνος (wo mit Mus. zu ändern) 4 B 392, 8 Sui. C Ἀ. ἀνέρχεται, ἀναμιμνήσκεται 5 B 392, 11 C Sui. Hes. Ἀναπότριπτον 6. 7 aus Phrynichos 8 Vgl. Hes. Ἀναπτερώσω. 9 Vgl. Sui. Hes. Ἀναπρῆσαι Et. gen. Ἀ. ἀναφυσήσας. ἢ ἀθρόως ἀναβαλών (ohne Quellenangabe) 10. 11 B 398, 6 Sui. aus Phrynichos (Bek. 10, 20) 12 B 392, 13 Sui. (C bis περιτιθέναι) 13 Hes. Ἀναπτησιοκέρας (von Schmidt zu Ἀναπτύσσειν τὸ κέρας verdorben). Komikerglosse 14 B 392, 12 C Sui. 15 Hes. 16 Sui. 17 B 392, 14 Sui. (C ἑρμηνεία, ἄνοιξις) 18 B 392, 15 C Sui. 21 Hes. 22 Hes. 23—p. 120, 2 B 392, 17 C Sui.

---

5 Ἀναπόνιπτρον *b* Ἀναπόνιπτον B Sui. Ἀναποίνητον C 7 σ' über der Zeile nachgetragen *b* 10 Ἀναπτεροῦσθαι und ἀνασεσοβεῖσθαι *b* 15 ἀνασταθείσας *b* 18 Ἀνάπτυστα auch C Hes. ἔκπυστα nur *b* 22 Wohl οἱ δὲ Κρῆτες ὄναρ (Ahrens Dial. II 120, ἤκουσα verdorben), denkbar auch Ἄναρ ἤκουσα· Κρῆτες, οἱ δὲ ⟨Ἕλληνες⟩ ὄναρ

λειπούcηc cτοιχεῖον, ἢ λόγου λείποντοc λέξιν, ἢ λέξεωc λειπούcηc cυλλαβήν.

Ἀναρᾶcθαι· ἀντὶ τοῦ διαλύειν τὴν γενομένην καταράν. οὕτωc Καλλιcθένηc (fr. 49 M.).

Ἀνάργυροc· Πλάτων Νόμων γʹ (679 b)· ʽἄχρυcοί τε καὶ ἀνάργυροι ὄντεcʼ. ἀναργυρία δὲ Στράττιc.

Ἀναρίθμιον· ἐχθρόν.

Ἀνάριcτοc, μᾶλλον δὲ ἀναρίcτητοc. Ἀριcτοφάνηc Πολυίδῳ (fr. 454)· ʽδιὰ τῆc ἀγορᾶc τρέχων ἀναρίcτητοc ὤνʼ. οὕτωc δὲ 102r ⟨καὶ⟩ Ἄλεξιc (fr. 233). Μένανδρ(ο)c (fr. 992) | ⟨ἀ⟩νάριcτον.

Ἄναρκτοc· δήμιοc.

Ἄναρκτον· τὸ ἀνυπότακτον.

Ἀναρρηθῆναι· ἀνακηρυχθῆναι.

Ἀνάρρημα· κήρυγμα.

Ἀνάρρηcιc· ἀναγόρευcιc.

Ἀναρριπίζεται· Φερεκράτηc Αὐτομόλοιc· ʽἀνὴρ ἀναρριπίζεταιʼ.

Ἀναρριπτεῖν· ἀναλαμβάνειν.

Ἀναρρίπτεcθαι· μεταμελεῖcθαι, μετατίθεcθαι.

Ἀναρριχᾶcθαι· τὸ πρόcαντεc ἀναβαίνειν ἅμα ταῖc χερcὶν ἀντιλαμβανόμενον καὶ cτηριζόμενον. Ἀριcτοφάνηc Εἰρήνῃ (70)· ʽπρὸc ταῦτʼ ἀνηρριχᾶτʼ ἂν εἰc τὸν οὐρανόνʼ.

Ἀναρροφεῖ· Κρατῖνοc Πανόπταιc· ʽκαὶ πάντʼ ἀναρροφεῖʼ, καὶ ʽταῦτʼ εὐθὺc ὑποκαθήμενοι ἀναρροφοῦcιν ἄνδρεcʼ.

Ἀναρροὰc κυμάτων· Νικοχάρηc· ʽῥηγνὺc δὲ πολλὰc κυμάτων ἀναρροάcʼ.

Ἀναροδανιcθῆναι· ἀναβληθῆναι.

Ἀναρροιβδεῖν· Ὅμηροc (μ 104) μὲν τὸ ἀναρροφεῖν, Σοφοκλῆc (fr. 407) δὲ τοὐναντίον ἔοικεν ⟨ἐν⟩ Ναυcικάᾳ· ʽὄχημά μοι ἐπᾶραν ἡcύχωc ἀναρροιβδεῖ πάλινʼ.

---

3. 4 Sui. **7** Hes. **8—10** Sui. (mehr), vgl. Et. cod. D (Gaisf. col. 266 D) **11** Vgl. unten S. 126, 16 **12** Sui., vgl. Hes. **13** B 392, 20 C Sui. Hes., vgl. Et. magn. 99, 3 **14** B 392, 22 C Sui. **15** B 392, 21 C Sui., vgl. Hes. **18** B 392, 16 Sui. (C Ἀναρρίπτει· ἀναλαμβάνει) **19** B 392, 23 C Sui. **20—22** Sui. **27** Hes. (anders Diogenian Et. magn. 99, 13) **28—30** B 392, 24 C Sui. erweitert aus Hes.

---

8 πολυείδω *b* 11 Lies Ἄνδραγχοc vgl. unten S. 126, 16 19 Ἀναρρίπτειν B Sui. 20 πρὸc ἄναντεc Sui. (vielleicht εἰc τὸ πρόcαντεc) 25 νικόχαρηc *b* 25 ῥήγυcι *b* 29 ἔοικεν αὐτίκα ὄχημά μεπαρήcυχα *b*

Ἀνάρσια· ἃ οὐκ ἄν τις ἄραιτο.

Ἀναρσίας· ἐχθράς. οὕτως Ἴων.

⟨Ἀ⟩νάρτησον· κρέμασον.

Ἀναρύει· ἀντὶ τοῦ ἀναθύει καὶ σφάττει. Εὔπολις (fr. 395). καὶ ἡ θυσία δὲ ἐπανάρρυσις ὀνομάζεται.

Ἀναρύτειν· ἀναντλεῖν, ἀπὸ τοῦ ἀρύτεσθαι. Κρατῖνος Διδασκαλίαις (fr. 36)· 'ὅτε σὺ τοὺς καλοὺς θριάμβους ἀναρύτουσα ἀπηχθάνου'.

Ἀνασαρῶσαι· εἰς τὴν ὀροφὴν ἐμπῆξαι.

Ἀνασειράζει· ἀνθέλκει, ἀνατρέπει.

Ἀνασείσας· ἀπειλησάμενος. Δημοσθένης κατὰ Ἀριστογείτονος (25, 47).

Ἀνασεμνύνειν· ἔστι μὲν καὶ τὸ ἀποσεμνύνειν πολιτικόν, ἀλλὰ τὸ ἀνασεμνύνειν πολιτικώτερον καὶ ὑψηλότερον.

Ἀνασείειν· ἐκτινάσσειν, ἀπειλεῖν, ἐρευνᾶν, ἐπηρεάζειν.

Ἀνασηκῶσαι· ἀνταποδοῦναι, ἀναλαβεῖν, ὅπερ ποιοῦσιν οἱ ἱστάντες, οἷον ἐξισῶσαι τὸ λεῖπον τῷ πλεονάζοντι. λέγεται δὲ καὶ ἀνασήκωσον καὶ ἀνεσηκώθη καὶ ἀνασηκώσας, ἀντὶ τοῦ ἀναθέμενος, καὶ ἀνασηκωθείς, καὶ ἀνασηκώσασθαι.

Ἀνάσιλλος· ἀναφαλαντίας.

Ἀνασιμοῦν· ἀναλίσκειν. καὶ τὸ τὰ ζῷα πρὸς ὀχείαν ὁρμῶντα ὀσφραίνεσθαι.

Ἀνασκευασθείσης τῆς τραπέζης· οἷον ἀναστάτου γενομένης. οὕτως Δημοσθένης (33, 9).

Ἀνασκαλεύων· ἀνακινῶν, ἀδημονῶν, ἀναλογιζόμενος.

Ἀνασκευασάμενοι· ἀπάραντες.

---

1 Sui. aus Timaios **3** B 392, 25 C Sui. **4. 5** Sui. aus Pausanias (Eust. 250, 17. 1159, 56 Schwabe p. 110) **6—8** Sui. **9** Hes. Ἀνασαβρῶσαι **10** B 392, 26 C Sui. **11. 12** Sui. aus Harp. (vgl. An. Ox. II 489, 21) **13. 14** aus Phrynichos **15** Vgl. Sui. **16—19** Zwei Teile: 1) bis πλεονάζοντι Sui.; 2) Aufzählung der Formen von ἀνασηκοῦν, vgl. Einl. **20** Sui. **21. 22** Hes. (zwei Glossen: Ἀναισιμοῦν und Ἀνασιμοῦν nachträglich auch bei Hes. verbunden; vgl. unten S. 134, 6 und Et. cod. D (Gaisf. col. 266 D) **23. 24** Sui. **25** B 392, 27 C Sui. **26** B 392, 29 C Sui.

---

1 Ἀναρσία ὧ . . . αἵρετο *b* 2 ἔχθρας *b* 4 Lies Ἀναρρύει . . . θύει 6 Ἀναρυτεῖν *b* 6 τοῦ ἀναρύτεσθαι *b* διδασκά *b* 9 ἐμπλῆξαι Hes. Glosse unverständlich 11 Lies ἀπειλήσας 13 πολιτικῶς *b* 18 ἀντισηκώσας *b* (nicht auf Eurip. Hec. 59 zu beziehen) 19 ἀντισηκωθείς *b*

Ἀνασκινδυλευθῆναι· ἀνασκολοπισθῆναι, ἀνασταυρωθῆναι. κέχρηται τῇ λέξει Πλάτων ἐν Πολιτείᾳ (II p. 362 a).

Ἀνασκυζᾶν· ἐπὶ τοῦ ἐξοιστρεῖν καὶ ἀκολασταίνειν. καὶ ἐκσκυζᾶν Κρατῖνος, Φρύνιχος δὲ σκυζᾶν.

Ἀνασπᾷ· ἀντὶ τοῦ καταλύει, ἢ ἀναιρεῖ. Θουκυδίδης | (VI 100).

102v Ἀνασπᾶν· τὸ ἀντλεῖν τὸ ὕδωρ. Φερεκράτης (fr. 180)· 'κάδους ἀνασπῶν'.

Ἀνασπᾶν βούλευμα καὶ ἀνασπᾶν γνωμίδιον· Ἀριστοφάνης. ἡ συμπλοκὴ ἁρμόζει συνουσίαις.

Ἀνασταδόν· ἀνιστάμενοι.

Ἀνάστασις· ἀναστάτωσις.

Ἀνάστατος· κατεστραμμένος.

Ἀναστάτως· πεπορθημένως.

Ἀναστεῖλαι· ἀντὶ τοῦ ἀνασχέσθαι.

Ἀναστήσας· ἀνοικίσας. ἢ μεταστήσας καὶ μεταγαγών.

Ἀνάστατοι· πλακοῦντος εἶδος. οὗτοι δὲ αὐταῖς ταῖς ἀρρηφόροις ἐγίνοντο. ἐλέγοντο δέ τινες πλακοῦντες καὶ χαρίσιοι, ἀμφιφῶντες, φθόϊς, σελῆναι, πέλανοι, πόπανα.

Ἀνάστατα ποιεῖν· Πλάτων (Soph. 252 a)· 'πάντα ἀνάστατα γέγονεν, ὡς ἔοικεν'. οὕτως Ἄλεξις, Μένανδρος καὶ Εὐριπίδης (Androm. 1249?). Δημοσθένης δὲ ἐν τῷ περὶ τῆς παραπρεσβείας (39)· 'ἀνάστατος αὐτῶν ἡ πόλις γέγονε'.

Ἀναστάτω· ἡ συνήθεια. Θουκυδίδης (I 87) δὲ ἀναστήτω λέγει διὰ τοῦ η̄· 'ἀναστήτω ⟨ἐς ἐκεῖνο τὸ χωρίον⟩.'

Ἀναστῆναι ἕωθεν· ὡς καὶ ἀπὸ τοῦ ὕπνου φαμέν. Πλάτων Χαρμίδῃ (155 b)· 'ἀνιστάμενος ἕωθεν'.

Ἀναστῶ· ἀντὶ τοῦ ἀναστήσω. Κράτης, Φερεκράτης καὶ Ἄρχιππος.

---

1. 2 Zwei Teile: 1) bis ἀνασταυρωθῆναι Sui. aus Timaios vgl. Schol. Plat.; 2) Phrynichos, vgl. Bek. 27, 14 **3. 4** Anders Phrynichos (Bek. 12, 15) **5** Sui. **6. 7** Sui. Et. cod. D (Gaisf. col. 266 D) **8. 9** aus Phrynichos (Bek. 27, 13 vgl. 6, 5) **10** B 392, 30 C Sui. Hes **11** Sui. **12** B 392, 31 C Sui., vgl. Hes Ἀναστάτους **13** B 393, 3 C Sui. **14** Sui. **15** Anders B 392, 32 C Sui. **16—18** Sui. (mehr) aus Pausanias (Eust. 1165, 10 Schwabe p. 130) **25. 26** aus Phrynichos (?), vgl. Et. cod. D (Gaisf. col. 268 E) Et. Gud. Ἀναστῆναι ἐγρηγορότας, ἐγερθῆναι ἐξ ὕπνου

---

4 Αφρύνιχος *b* (A rot). Denkbar auch Φρύνιχος δὲ σκυζᾶν ⟨ἐπὶ νεωτέρων κτλ.⟩ 8 γνωμήδιον *b* 15 ἀνοικήσας *b* 17 χαρήσιοι *b* 18 φθώεις *b* πελανοί *b* 25 ἐπὶ τοῦ *b* 26 χάρμιδι *b*

Ἀνασυντάξας· ἀντὶ τοῦ ἄνωθεν συντάξας. Ὑπερείδης ἐν τῷ κατὰ Πολυεύκτου (fr. 151 Bl.).

Ἀνασύνταξις· τὰ διαγεγραμμένα τιμήματα ταῖς συμμορίαις ὅταν δόξῃ τῷ δήμῳ χρήζειν προσθήκης ἢ ἀφαιρέσεως, καὶ ἕλωνται τοὺς τοῦτο πράξοντας, τοῦτο οὕτω καλοῦσιν.

Ἀναστοιχειοῖ· ἀναπλάττει, ὡς μεταστοιχειοῖ· μεταπλάττει.

Ἀναστροφὴ δίκης· ὅταν ὁ ἐγκαλούμενος τῷ ἠδικημένῳ ἐγκαλῇ.

Ἀναστῦψαι· ἢ τὸ αἰδοῖον ἐπᾶραι. ἢ στυγνάσαι. Σοφοκλῆς (fr. 388).

Ἀνασῦραι· ἀποκαλύψαι, περιποιῆσαι.

Ἀνασύρειν καὶ Ἀνασεσυρμένην· εἰώθαμεν χρῆσθαι τῷ ὀνόματι ἐπὶ τῶν φορτικῶν ἢ ἀναισχυντούντων. Ἀνακρέων ἐν αἱ.

⟨Ἀ⟩νασφήλας· ἀνανήψας. ἑαυτὸν ἀναστήσας. ἢ ἀναλαβών.

Ἀνασχοῦσα· ἀναδοῦσα.

Ἀνασχών· ἀνατείνας.

Ἀνατί· ἀβλαβῆ. καὶ ἄνευ τίσεως καὶ τιμωρίας καὶ ἄτης.

Ἀνατεθυμένος· ἀναπεπεισμένος. οἱ δέ ἀνακεκαυμένος.

Ἀνάσχετος· Δημοσθένης (?) καὶ Θουκυδίδης (I 118). καὶ ἀνάσχωμαι Φερεκράτης, ἀνασχήσομαι δὲ Ἀριστοφάνης (Ach. 299).

Ἀνατίθεμαι τὰ πράγματα τούτῳ· οἷον τὴν ἐξουσίαν πᾶσαν τῶν πραγμάτων τόνδε ἔχειν βούλομαι.

Ἀνατεῖλαι· ἀνθῆσαι, ἐκ μεταφορᾶς τῶν βοτανῶν.

Ἀνατλάντες· ὑπομείναντες.

Ἀνατείνας τὴν ψυχήν· ἐπὶ τὰ ἄνω τρέψας καὶ ἐπὶ τὴν τῶν θεῶν θέαν.

Ἄνατος· ὁ ἀβλαβής.

Ἀνατάξασθαι· εὐτρεπίσασθαι.

Ἀνάτλημα· ὑπομονή.

Ἀνατλῆναι· ὑπομεῖναι. |

---

1. 2 Sui. aus Harp. **3—5** Sui. **6** B 393, 1 Sui. (C bis ἀναπλάττει) **8** Hes. (vgl. auch Pollux II 176) **9** Hes. **12** B 393, 5 C Sui. **13** B 393, 4 C Sui. **14** B 393, 7 C Sui. **15** B 392, 33 C Sui. Schol. Plat. Leg. 871 e, vgl. Timaios, Hes. **16** Hes Ἀνατεθυμιασμένος (zu verbessern) vgl. unten S. 124, 5 **19. 20** aus Phrynichos (?) **21** B 393, 9 C Sui., vgl. Hes. **22** B 393, 10 C Sui. **23. 24** Sui. aus Timaios **25** Hes., vgl. Et. magn. 100, 56 **26** B 393, 8 C Sui. Hes. **27** B 393, 12 C Sui. **28** B 393, 12 Sui. Hes.

---

4 ἕλονται *b* 11 denkbar ἐν α΄. 16 ἀναπεπεισμένος verdorben 17 18 καὶ ἀνάσχομαι *b* 24 θείων Tim. richtig



103r 'Ανατύπωϲιϲ διανόηϲιϲ.

'Ανατυπῶϲαι· ἀνατρέψαι. 'Αντίμαχοϲ (fr. 96).

⟨"Α⟩ναυδοϲ· ἄφωνοϲ.

'Ανατρέχω· ἀντὶ τοῦ ἀναλύω. Μένανδροϲ (fr. 993).

'Ανατεθυμιαμένοϲ· ἀναπεπειϲμένοϲ.

'Ανατρέπειν· ἀναϲτρέφειν.

'Ανάτριπτα ἱμάτια· ἐγνωρίζετο παρὰ τοῖϲ ἀρχαίοιϲ καὶ αὕτη ἡ χρῆϲιϲ τῶν ἱματίων. ἔϲτι δὲ ἀνάτριπτα τὰ ἀνατριβόμενα ἐν τῷ κνάπτεϲθαι καὶ τὴν κροκύδα ἀνιέντα πυκνὴν καὶ λεπτήν.

'Αναφαίνειϲ· φανερὰ ποιεῖϲ.

'Αναφαιρέτουϲ· μὴ ἀφαιρουμένουϲ.

'Αναφανδόν· φανερῶϲ.

'Αναφῆναι· ἐκφῆναι.

'Αναφοιτῆϲαι· ἀνελθεῖν.

'Αναφορεῖϲ· οἱ ἀνέχοντεϲ, ἢ ἀναβαϲτάζοντεϲ.

'Αναφαλαντίαν, οὐκ ἀναφάλαντον, καὶ ἀνάϲιλλον τὸ αὐτὸ λέγουϲιν.

'Αναφλαϲμόν· τὰ ἀφροδίϲια. Εὔπολιϲ (fr. 61) Αὐτολύκῳ. καὶ ἀναφλᾶν τὸ μαλάττειν τὸ αἰδοῖον.

'Αναφλύϲτιοι· δῆμοϲ φυλῆϲ 'Αντιοχίδοϲ. ἔνιοι μέντοι τῶν ἱϲτορικῶν ὡϲ πόλεωϲ τῆϲ 'Αναφλύϲτου μνημονεύουϲιν.

'Αναφοράν· τὸ ἀναφέρειν τὴν αἰτίαν τῶν ἁμαρτηθέντων ἐπ' ἄλλουϲ. Δημοϲθένηϲ ὑπὲρ Κτηϲιφῶντοϲ (219).

'Αναφοιβάϲαϲ· ἀνακαθάραϲ.

'Αναφράξαντεϲ· ἀναπτύξαντεϲ, ἀναπετάϲαντεϲ.

'Αναφρονέων· ἀναλογιζόμενοϲ.

'Αναχάϲκειν· ὃ ἡμεῖϲ ἀνέχαϲκεν.

'Αναχαιτίζει· ἀναποδίζει, ἀνακόπτει. Σοφοκλῆϲ (fr. 180) δὲ ἀπειθεῖ καὶ ἀντιτείνει.

---

1 B 393, 11 C Sui. **2** Sui. **3** B 393, 13 C Sui. Hes. **4** Sui. **5** Hes., vgl. oben S. 123, 16 **6** Hes. **10** B 393, 14 Sui. (C 'Αναφαίνει· φανερὰ ποιεῖ) **11** B 393, 15 Sui. (C 'Αναφαιρέτοιϲ u. φαινομένοιϲ) **12** B 393, 16 C Sui. Hes. **13** B 393, 17 C Sui. **14** B 393, 18 C Sui. **15** B 393, 19 Sui. Hes. (C bis ἀνέχοντεϲ) **16. 17** Sui. **18. 19** Sui. **20. 21** Sui. aus Harp. **22. 23** Sui. aus Harp. **24** Hes. **25** Hes. **26** Hes. **27** Sui. **28. 29** Sui. Zwei Teile: 1) bis ἀνακόπτει B 393, 20 C; 2) vgl. Hes.

---

8 vor αὕτη ein Adjektiv ausgefallen 23 ὑπὲρ] κατὰ *b* 27 'Αναχάϲκει Sui. vgl. oben S. 26, 14 "Αγχαϲκε (etwa 'Αγχάϲκειν . . ἀναχάϲκειν)

Ἀνὰ χθόνα· ἐπὶ τὴν γῆν.

Ἀνάχυσιν· βλακείαν, ἔκλυσιν. καὶ ἐπίτασίν τινος ἢ πλεονασμόν.

Ἀναχωρίζει· ἀντὶ τοῦ ἀναχωρεῖν ποιεῖ. Ξενοφῶν (Anab. V 2, 10) καὶ ἀναχωρεῖ τὸ παθητικόν.

Ἀνάψαι· ἀναθεῖναι, κοσμῆσαι.

Ἀναψύχουσα· ξηραίνουσα, ῥιπίζουσα.

Ἀναψύχοντα· ἀναπνέοντα πρὸς τὴν τοῦ ἀνέμου πνοήν.

Ἀναψυχῆναι· ἀναπαύσασθαι. ἢ ἀναψύξαι. Ἀμειψίας Μοιχοῖς (fr. 13).

Ἀναψῦχον· ἀναπνοὴν διδοῦν.

Ἀναψηφίσασθαι· τὸ μεταψηφίσασθαι. Φερεκράτης Δουλοδιδασκάλῳ (fr. 47)· 'κἀναψηφίσασθ' ἀποδοῦναι πάλιν τὰ χρυσία'.

Ἀναψυχομένη· ἀναπαυομένη.

Ἁνδάνει· ἀρέσκει.

Ἄνδηρα· τὰ χείλη τῶν ποταμῶν, διὰ τὸ ἀεὶ ἔνικμα καὶ διερὰ εἶναι. Ὑπερείδης (fr. 113 Bl.) δὲ τὰ ἀναχώματα λέγει, διὰ τὸ ὑπεράνω εἶναι τῶν διερῶν.

Ἀνδοκίδου Ἑρμῆς· Δοῦρις (fr. 62 M.) μὲν αὐτοσχεδιάζει, ὡς ἔοικεν, Ἀνδοκίδου εἶναι λέγων τὸν Ἑρμῆν ἀνάθημα, Αἰσχίνης (I 125) δὲ καὶ αὐτὸς Ἀνδοκίδης (I 62) τῆς Αἰγηΐδος φυλῆς μαρτυροῦσιν εἶναι ἀνάθημα.

Ἀνδράγρια· σκῦλα ἐξ ἀνδρῶν.

Ἀνδράχλη· διὰ τοῦ λ Ἀττικῶς ἀντὶ τοῦ ν. Σοφοκλῆς 'χλωροῖσι κορμοῖς ἀνδράχλης ἀναίθεται'. |

Ἀνδραγαθία· Ὑπερείδης· (pro Lyc. § 16 Bl.)· 'ἐστεφάνωμαι δὲ *103v* ὑπό τε τῶν ἱππέων ἁπάντων ἀνδραγαθίας ἕνεκα'. λέγεται δὲ καὶ ἀνδραγαθίζεται (Thuc. II 63) καὶ ἀνδραγαθίζεσθαι.

Ἀνδράποδον· καὶ ἐπὶ θηλείας εἴρηκε Φερεκράτης.

---

1 B 393, 21 C Sui. **2** Zwei Teile: 1) bis ἔκλυσιν B 393, 22 C Sui.; vgl. Hes. **3. 4** Sui. **5** Hes. **6** Hes. (mehr) **7** Hes. (die folgende Glosse Ἀνάψω ἀναθήσω ist umzustellen) **8. 9** Zwei Teile: 1) bis ἀναπαύσασθαι Hes.; 2) Sui. (mehr) **10** Sui. **11. 12** Sui. **13** Sui. **14** B 393, 23 C Sui. Hes. **15—17** Sui. aus Harp., vgl. Hes. (Et. magn. 101, 39) **18—20** aus Harp., vgl. Hes. **21** B 393, 24 Sui. **22. 23** Vgl. Sui.

---

2 ἔκχυσιν C ἔκχυσιν ἔκλυσιν B 4 ἀναχώρει τὸ πάθος *b* 12 κἀναψηφίσαστ' *b* 15 δίαιρα *b* 17 διαίρων *b* Harp. E 18 αὐτοσχεδιάζειν und 19 λέ *b* αὐτοσχεδιάζων λέγει Harp. E αὐτοσχεδιάζει λέγων Harp. 22 χλωροῖς *b* 23 ἀνέθεται *b* 25 ὑπέρ τε *b* πάντων pap. Hyp.



Ἀνδραποδοκλόπος· Σοφοκλῆς, ἀνδραποδοκλέπτης δὲ Μένανδρος.

Ἀνδράριον· Ἀριστοφάνης (Ach. 517).

Ἀνδρεία φύσις· Ἄρχιππος· 'Πειθοῦς γὰρ οὐκ ἦν οὔτε βωμὸς οὔτε πῦρ οὔτ' ἐν γυναιξὶν οὔτ' ἐν ἀνδρείᾳ φύσει'.

Ἀνδραποδισμός· αἰχμαλωσία.

Ἀνδραποδοκάπηλος· ὁ μεταβολεὺς ἀνδραπόδων. ὁ σωματέμπορος, παρὰ τὸ καπηλεύειν τὰ ἀνδράποδα, ἤγουν πιπράσκειν.

Ἀνδραποδώδεις· δουλοπρεπεῖς, δουλογνώμονας.

Ἀνδρακάς· τὸ κατ' ἄνδρα χωρίσαι. Κρατῖνος ἐν Βουκόλοις (fr. 19). Θουκυδίδης δὲ ἀντὶ τοῦ ἴσον καὶ ἀντικείμενον.

Ἀνδραποδιστής· οὐ μόνον ὁ τοὺς ἐλευθέρους δουλούμενος, ἀλλὰ καὶ ὁ τῶν δεσποτῶν τοὺς δούλους εἰς ἑαυτὸν ὑποσπῶν.

Ἀνδραπόδητοι· οἱ σὺν ἀνδραπόδοις ἀποδημήσαντες.

Ἀνδραφάσσειν· κατ' ἄνδρα ἐφάπτεσθαι.

Ἄνδραγχος· δήμιος, ὁ τοὺς ἄνδρας ἄγχων.

Ἀνδραφόνων· οὕτως Σόλων ἐν τοῖς Ἄξοσιν ⟨ἀντὶ⟩ τῶν ἀνδροφόνων ἀεί φησιν.

Ἀνδρεία· ἡ τῶν ἀνδρῶν ἡλικία. Ἀντιφῶν ἐν τῷ περὶ Ὁμονοίας (fr. 112 Bl.).

Ἀνδρείκελον· ὅμοιον ⟨ἀνδρί⟩. σημαίνει δὲ καὶ τὸ μῖγμα τῶν ζωγράφων, ὃ καλεῖται χρωμάτων κρᾶσις.

Ἀνδραποδώδη τρίχα· τὴν τῶν ἀνδραπόδων ἰδίαν κουράν, ἣν ἀπελευθερωθέντες ἤλλασσον αἱ δοῦλαί τε καὶ οἱ δοῦλοι.

Ἀνδρεῖος πρὸς δωροδοκίαν· ὁ Ῥήτωρ· 'πρὸς μὲν τὴν τῶν πραγμάτων κίνησιν, ὡς ἔοικε, δεινὸς τυγχάνεις, πρὸς δὲ τὴν δωροδοκίαν ἀνδρεῖος'.

Ἀνδρικήν· τὴν ἰσχυράν. Πλάτων Νόμων ζ' (VII 814 e).

---

6 B 393, 26 C Sui. Hes. **7. 8** Zwei Teile: 1) bis ἀνδραπόδων B 393, 27 C Sui.; 2) Sui. aus Harp. **9** B 393, 28 Sui., vgl. Hes. C Ἀνδραποδώδης· — πής — γνώμων **10. 11** B 394, 8 Sui. **12. 13** B 394, 11 Et. magn. 102, 7 (vgl. auch Sui.) Pollux III 78 **14** B 394, 14 Hes. (zu verb.) **15** B 394, 15 Hes. **16** B 393, 25 C Hes. **19. 20** Sui. aus Harp. **21. 22** Sui., vgl. Hes. **23. 24** Sui. aus Timaios, vgl. auch Eust. 79, 8 **25—27** aus Phrynichos.

---

10 χωρῆσαι B χωρίς cod. Sui. 11 Θουκυδίδης — ἀντικείμενον gehört zu Gl. Ἀντίπαλον (Blomfield) 13 ἀποσπῶν *b* Et. m. 15 Ἀνδραφασάειν B 17 ἄξοσι *b* 21 Ἀνδρίκελον *b* 22 κρίσις Sui. 24 ἤλασσον *b* 28 ζ'] ς' *b*

'Ανδριστὶ μιμεῖσθαι φωνήν· ὡς ἀνήρ. Κράτης Λαμίᾳ.

*Ἄνδριον· τὸ ὑποκοριστικόν. Εὐριπίδης Αὐτολύκῳ· 'μηδὲν τῷ πατρὶ μέμφεσθ' ἄωρον ἀποκαλοῦντες ἄνδριον'.

'Ανδρικός καὶ 'Ανδρικώτατος· Πλάτων (Phaedr. 273 b) καὶ 'Αριστοφάνης (Equ. 81), 'Ανδρικώτερος δὲ 'Αναξανδρίδης, καὶ 'Ανδρωδῶς 'Ισοκράτης Παναθηναϊκῷ (12, 31).

'Ανδρηλατεῖν· ἄνδρας ἐλαύνειν καὶ 'Ανδρηλατεῖσθαι· ἐλαύνεσθαι. καὶ πολλὴ τῆς τοιαύτης φωνῆς παρὰ τοῖς ἀρχαίοις ἡ χρῆσις.

⟨'Α⟩νδρογύνων· ἀσθενῶν, γυναικῶν καρδίας ἐχόντων.

'Ανδρό|γυνον ἄθυρμα· Εὔπολις ἐν 'Αστρατεύτοις. τοὺς **104r**
ἄνδρας μὲν τὸ σῶμα φύντας, εἰς γυναῖκας δὲ σφᾶς αὐτοὺς ἀφέντας καὶ τὰς τούτων ἐπιτηδεύσεις ἐπιτηδεύοντας οὕτως ἔλεγον.

'Ανδροκόβαλος· κακοῦργος, πανοῦργος.

'Ανδροκτασιάων· ἀνδροφονιῶν.

'Ανδροληψία· τὸ ἁρπάζειν ἄνδρας ἔκ τινος πόλεως. ἠνεχύραζον γὰρ τὴν ἔχουσαν πόλιν τὸν ἀνδροφόνον καὶ μὴ προϊεμένην αὐτὸν εἰς τιμωρίαν, καὶ τοῦτο οὕτως ἐκάλουν, καὶ οὐδετέρως ⟨'Α⟩νδρολήψιον.

'Ανδριάς· ὡς ἐν τῇ συνηθείᾳ λέγουσιν αἱ μητέρες περὶ τῶν υἱῶν 'ὁ καλὸς ἀνδριάς μου', Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (129)· 'τὸν καλὸν ἀνδριάντα' γράφοντα. λέγεται δὲ καὶ τὸ ἄγαλμα καὶ ὁ ἐκ χαλκοῦ καὶ ξυλίνου καὶ χρυσίου καὶ τῆς ἄλλης ὕλης, ὅση δύναται δέξασθαι καὶ κατέχειν εἶδος. λέγεται δὲ τούτων ἕκαστον καὶ κατὰ συνθήκην τῆς ὕλης, ὁ χαλκοῦς ἀνδριάς, καὶ ὁ ξύλινος, καὶ τὰ ὅμοια. λέγεται μέντοι καὶ ἐπὶ τῶν ἄλλων ζῴων καταχρηστικῶς ἀνδριάς.

'Ανδρόπαις· ὁ ἤδη ἀνδρούμενος παῖς.

'Ανδροσάθων· ὁ μέγα ἔχων τὸ αἰδοῖον.

'Ανδροκάπραινα· Φερεκράτης· 'ἀνδροκάπραινα καὶ μεθύση καὶ φαρμακίς'.

---

1 aus Phrynichos. **7. 8** aus Phrynichos (vgl. φωνῆς, anders Sui. aus Timaios) **9 B** 393, 29 C Sui. **10—12** aus Phrynichos (? vgl. Bek. 11, 29) **13** Sui. Hes. **14 B** 393, 30 C Sui. Hes. **15—17 B** 393, 33 Sui. aus Harp., vgl. Hes. und mit ihm C 'Ανδροληψία· ἐνεχειράζων τοὺς ἔχοντας ἀνδροφόνον **18—24 B** 394, 29 **25** Sui., vgl. Hes. **26 B** 394, 5 Sui., vgl. Hes. (verbunden mit Gl. 'Ανδροσάθης) Eust. 1968, 43 **27. 28** aus Phrynichos (?)

---

1 Ακρᾶ (Α rot) *b* 2. 3 'Ανδρεῖον beidemal *b* 3 μέμφεσθαι *b* 5 καὶ 'Αριστοφάνης in *b* am Rand 16 προεμένην *b* 20 γράφοντα auch B, lies γράφει καὶ ἄλλοι πολλοί fügt B hinzu 21 καὶ ὁ ξυλίνου B (ξύλου Bekker richtig) 28 φαρμακής *b*

ʼΑνδροcάθηc· ἀνδρὸc αἰδοῖον ἔχων. τὸ γὰρ αἰδοῖον cάθη ἀπὸ τοῦ cάττειν.

ʼΑνδρομέοιο· ἀνθρωπίνου.

ʼΑνδρωθεῖcα· ἀνδρὶ cυνοικήcαcα, διακορηθεῖcα.

ʼΑνδρώcαcθαι· cυγγενέcθαι.

ʼΑνδρῶνα· οἶκον, ἔνθα ἄνδρεc ἀθροίζονται.

<ʼΑ>νεβάλλοντο· ἐcχηματίζοντο.

ʼΑνέβαλλεν· ἀναβολὴν ἐδίδου.

ʼΑνεβάλλετο· ἀνεκρούετο. ἀναβολάc γὰρ καὶ τὰc ἀνακρούcειc καὶ τὰc ἀρχάc. ὅθεν καὶ τὸ ἤρχετο καὶ ἀπήρχετο. cημαίνει δὲ καὶ τὸ ὑπερετίθετο.

ʼΑνεβίω· ἀνέζηcεν.

ʼΑνεβίωcα καὶ ἀνεβίωcε, καὶ ἀνεβίω, καὶ ἀναβιώcκεται καὶ ἀναβιώcκει μᾶλλον ἢ ἀναβιοῖ. λέγουcι δὲ καὶ ἀναζῆν.

ʼΑνέβηcεν· ἀντὶ τοῦ ἀνεβίβαcεν. Ἡρόδοτοc (I 80).

ʼΑνεβιωcάμην· ἀντὶ τοῦ ἀναβιῶναι ἐποίηcα. Κράτηc (fr. 45).

ʼΑνεγείρει καὶ ῥιπίζει τὸν ὄχλον, ἢ τὴν πόλιν· ἐναργὴc ἡ cυμπλοκὴ τοῦ λόγου, καὶ cημαίνει τὸ ἐρεθίζει καὶ ἀνακινεῖ. τὸ μέντοι ῥιπίζει ἀπὸ τῆc τοῦ πυρὸc ῥιπίcεωc εἴρηται.

ʼΑνεγνάμφθη· ἀνεκάμφθη.

ʼΑνέγρετον· ἀνυπόcτροφον.

ʼΑνέγγυοι γάμοι· οἱ μὴ γάμῳ ἡνωμένοι. Εὐριπίδηc ʼΕρεχθεῖ.

ʼΑνέγκλητον· Δημοcθένηc ἐν τῷ πρὸc ʼΑλέξανδρον (vgl. Epist. II 14), ʼΑνεγκλητὶ δὲ Πλάτων Μενελάῳ (fr. 231), ʼΑνεγκλήτωc δὲ Ξενοφῶν (Hell. VI 1, 13?).

ʼΑνέγνωκαc· καὶ ταύτῃ τῇ κλίcει κέχρηνται, καὶ οὐ μόνον ἀνέγνωc. Πλάτων Θεαιτήτῳ (152a) καὶ Δημοcθένηc (50, 57?).

---

1. 2 B 394, 27 **3** B 393, 31 C, vgl. Sui. **4** B 394, 28 Hes. **5** Hes. **6** B 393, 32 C Sui. **7** B 395, 10 Sui. **8** B 395, 11 Sui. **9—11** B 395, 6 (C nur προοιμιάζετο, ἀνεκρούετο, vgl. Hes.) **12** B 395, 12 C Sui., vgl. Hes. **13. 14** B 395, 12 **15** B 395, 16 Sui. **16** B 395, 19 Sui. **17—19** B 401, 5 aus Phrynichos (vgl. Arist. Ran. 360) **20** B 395, 15 C Sui. **21** B 395, 17 C Sui. **23—25** B 400, 25 **26. 27** aus Phrynichos (?), vgl. Et. cod. D (Gaisf. col. 266 C)

---

1 cάθηc *b* 14 ἀνεβιώcκει *b* ἀναβιοῖν *b* (vgl. oben S. 107, 7—8 ʼΑναβιώcκειν· τὸ ἀναβιοῦν und ʼΑναβιώcκεcθαι· ἀναζῆν) 16 ἀντὶ] ἀπὸ *b* ἐποίηcε *b* κρᾶ (mit übergeschr. τ) *b* (für Κρατῖνοc meist κρα (mit übergeschr. τ͂) oder dergl.)

Ἀνεδείματο· | ἀνῆλθεν. *104ᵛ*

Ἀνέδραμεν· ἀντὶ τοῦ ηὐξήθη. Ἡρόδοτος (I 66).

Ἀνέδην· ἀνειμένως. δύναται δὲ καὶ ἀπὸ τῶν ἵππων μετάγεσθαι, οἷς ἂν αἱ ἡνίαι ἀνεθῶσι. Πλάτων Νόμων ια′ (919d)· 'εὑρεῖν μηχανὴν ὅπως ἤθη μὴ ἀνέδην'. οὕτως καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου (11).

Ἀνεζωπυρήθη· διεθερμάνθη.

Ἀνεζεύγνυον· Ξενοφῶν εἴρηκε Παιδείας η′ (5, 28).

Ἀνέζεσεν αἷμα· ἐπὶ ὀργιζομένου σφόδρα θείης ἂν τὴν φωνήν. Φερεκράτης.

Ἀνέθει· ἀνέτρεχεν.

⟨Ἀ⟩νεκάς· ψιλῶς, τὸ ἄνω λέγουσι, καὶ ἀνέκαθεν τὸ ἄνωθεν. Εὔπολις Αὐτολύκῳ (fr. 50) καὶ Κράτης Ἥρωσι (fr. 10) καὶ Κρατῖνος Ὥραις.

Ἀνελήμων καὶ ἀνελεήμων φασί. Νικοχάρης (fr. 20) δὲ ἀνελεήμων.

Ἀνεθέλητον· ἀντὶ τοῦ ⟨οὐκ⟩ ἐθελητόν. Ἡρόδοτος ζ′ (133. 88).

Ἀνεμοτρεφές· τὸ ὑπὸ ἀνέμου τυπτόμενον καὶ κινούμενον καὶ ηὐξημένον, ἢ στερρὸν καὶ εὔτονον· τοιαῦτα γὰρ τὰ ὑπὸ ἀνέμου δονούμενα τῶν δένδρων.

Ἄνεμος καὶ ὄλεθρος ἄνθρωπος· πάνυ καινῶς εἴρηται καὶ ἐναργῶς· ἔστι δὲ Εὐπόλιδος (fr. 376)· τὸ μὲν γὰρ ἄνεμος δηλοῖ τὸ πανταχοῦ φερόμενον ἀνέμου δίκην καὶ ἀλώμενον καὶ ἀβέβαιον, τὸ δὲ ὄλεθρος ὀλέθρου ἄξιον καὶ ἀπωλείας. χρήσῃ δὲ τῷ λόγῳ, ὥς φησι Φρύνιχος, ἐν συνουσίαις.

Ἀνεμιαῖα· τὰ ὑπηνέμια τῶν ᾠῶν· κατὰ μεταφορὰν δὲ καὶ οἱ ἄχρηστοι καὶ μάταιοι τῶν λόγων.

---

1 B 395, 18 C (der ἢ ἀνέκτησεν zufügt) **2** B 395, 21 Sui. **3—6** B 400, 15 (mehr) **7** B 395, 22 C Sui. **9. 10** aus Phrynichos (Bek. 27, 21) **11** B 395, 23 C Sui. **12—14** B 395, 24 (weniger) Sui. (z. T. mehr) **15. 16** B 400, 30 **18—20** Hes., vgl. B 397, 19 Sui. (vgl. auch Apoll. Soph. 31, 22) vgl. unten 132, 12 **21—25** B 401, 8 aus Phrynichos (Bek. 13, 31) **26. 27** B 401, 14, vgl. Et. cod. D (Gaisf. col. 237 F)

---

1 Ἀνεδήματο B wohl Ἀνεδείματο ⟨ἀνῳκοδόμησε, κατεσκεύασε. Ἀνέδυ⟩ ἀνῆλθεν vgl. Sui. Hes. (Hesychs Glosse Ἀνεδέματο ἀνεβίωσεν ist fernzuhalten)
8 Lies Ἀνεζεύγνυ 11 ἀνέτραχεν *b* Ἀνέκας *b* 15 νικόχαρις (η über ι) *b* ἀνηλεήμων B vielleicht richtig 18 Ἀνεμότροφος *b* 21 Lies ἄνθρωπος

Ἀνεικάσασθε· ἀνασκώψασθε. Κρατῖνος Δραπέτισι (fr. 63).

Ἀνεικέναι τιμάς· οἷον ἐπ' ἔλαττον γεγενῆσθαι, ὅταν ἐξ ἐπιτιμήσεως πρὸς τὸ μεῖον ὑπάγωνται. Δημοσθένης ἐν τῷ κατὰ Διονυσοδώρου (25)· 'τὰς γὰρ τιμὰς τὰς ἐνθάδε ἀνεικέναι ἤκουσα'.

Ἀνείληπτός ἐστι τὸ Ἑλληνικόν, οὐχὶ ἀνάλειπτος οὐδὲ ἕτερον τοιοῦτον οὐδέν.

Ἀνείλεσθαι· συστρέφεσθαι, καὶ ἀλλήλους τοῖς δόρασι τύπτειν.

Ἀνείλλεται· ἀνειλεῖται.

Ἀνεῖλεν· ἀντὶ τοῦ ἐμαντεύσατο. διφορεῖται γὰρ ἡ λέξις, ἐπεὶ ἔστιν ὅτε καὶ ἀντὶ τοῦ ἐφόνευσε λαμβάνεται. τὸ δὲ ἐμαντεύσατο ἢ ἀπὸ τοῦ ἄνωθεν λαμβάνειν τὸ πνεῦμα καὶ πληροῦσθαι τοῦ θεοῦ, ἢ ἀπὸ τοῦ ἀνελεῖν τὴν ἄγνοιαν. λέγεται δὲ ἀνελεῖν καὶ τὸ ἀναλαβεῖν τὰ ἔκθετα βρέφη καὶ τρέφειν· καὶ ἁπλῶς ὅπερ ἄν τις ἀναλαμβάνοιτο.

Ἀνειλόμην· δύο δηλοῖ, τό τε ἔθρεψα καὶ τὸ ἐβάσταξα.

Ἀνειλήθυιαν· ἄτοκον. Εὐριπίδης (Ion. 453).

Ἀνειλύσπω· ἀνέβαινες.

Ἀνιμᾶσθαι· ἀντλεῖν, ἀναφέρειν, ἀρύεσθαι.

Ἀνειμέναι· ἐκλελυμέναι.

Ἀνείμονες· ἄνευ ἱματίων. ἀνίματοι

Ἀνεῖναι· ἀφεῖναι.

105r **Ἀνεῖναι κύβον·** | ἀναρρῖψαι κύβον.

Ἀνεῖπεν· ἀνεκήρυξεν, ἀνηγόρευσεν.

Ἀνεῖργεν· ἀπεκώλυεν.

Ἀνείρηκε τὸν χρησμόν· καὶ τὸν κήρυκα ἀνειπεῖν λέγουσιν.

---

1 B 396, 24 Sui. Hes. **5. 6** B 396, 24 Sui. (Ἑλληνικόν entspricht dem Sprachgebrauch z. B. des Oros) **7** B 395, 29 Sui. Hes. **8** B 395, 31 Sui. aus Timaios (Schol. Plat. Symp. 206 d) **9—14** B 395, 33 Et. magn. 106, 36 Zwei Teile: 1) bis γνῶσιν B 396, 7 = C (von Phot. verkürzt); 2) Sui. **15** B 396, 10 Sui. **16** B 396, 12 Sui. Hes. **17** B 395, 32 Sui. Hes. **18** B 405, 11 Sui. (C bis ἀντλεῖν) **19** B 396, 13 Sui. (C Ἀνειμένος ἐκλελυμένος ἤγουν ἀπολεσμένος so) **20** B 396, 14 Sui. (C bis ἱματίων) **21** B 396, 15 C Sui. **22** B 396, 16 Sui. **23** B 396, 17 C Sui. (C mehr) **24** B 396, 18 C Sui. **25** Sui

---

1 Ἀνεικάσασθαί^ε *b* ἀνακόψασθε *b* δραπέτησιν *b* 5 Lies Ἀνήλειπτος οὐχὶ ἀνάληπτος Sui. 7 Lies Ἀνείλλεσθαι 9 διαφορεῖται *b* 13 τρέφει *b* 16 Ἀνειληθυῖαν *b* Ἀνειλειθυῖ cod. Hes. 17 Wohl Ἀνειλυσπῶ 18 Ἀνειμᾶσθαι C (ebenso las Photios) 18 ἀναρύεσθαι *b* 20 Vielleicht ἀνείματοι

Ἀνείρειν· ἀναπείρειν, ὅθεν καὶ ἡ ἄνερσις παρὰ Θουκυδίδῃ (I 6)· 'καὶ χρυσῶν στεφάνων ἐνέρσει'.

Ἀνεῖσθαι· λελῦσθαι.

Ἀνίμων τοῖς δόρασιν (Xen. An. IV 2, 8)· ἀνεῖλκον.

Ἄνεισιν· ἀνέρχεται.

Ἀνεῖται· ἀπολέλυται.

Ἀνέκραγεν· οὐκ ἀνεκραύγασε. καὶ ἀνακραγεῖν, καὶ πάντα τὰ ὅμοια οὕτως.

Ἀνεκρούετο· ἀνέκοπτεν, ἀνέστελλεν.

Ἀνεκυμβάλιζον· ἐκρότουν, κτύπον ἐποίουν.

Ἀνεκώχευον· ἀνεχώρουν.

Ἀνεκάχασε· Πλάτων Πολιτείας α' (337a)· 'καὶ ὃς ἀκούσας ἀνεκάχασε μέγα σαρδόνιον'. χρὴ δὲ δι' ἑνὸς κ̅ τοῦτο γράφειν.

Ἀνεκτοί· Θουκυδίδης (II 35)· 'καὶ μέχρι τοῦ⟨δε⟩ ἀνεκτοὶ ⟨οἱ⟩ ἔπαινοί εἰσιν'. Ἀνεκτά δὲ Πλάτων Σοφισταῖς, καὶ Ἀνεκτῶς Ἰσοκράτης (5, 11).

Ἀνέκτημαι· ἀνείληφα. Σοφοκλῆς (fr. 331).

Ἀνελέσθαι πόλεμον· πόλεμον ποιῆσαι.

Ἀνελεύθερον σῶμα· Φερεκράτης Μυρμηκανθρώποις.

Ἀνελκταῖς ὀφρύσι σεμνόν· εἴρηται παρὰ Κρατίνῳ (fr. 355).

Ἀνελεύθερος· ὁ μικρολόγος. ἢ ὁ ἐκτὸς τῆς ἀληθείας ποιῶν τι.

Ἀνελοῦσα γὰρ τὸν νόμον ἐχειροτόνησεν αὐτήν. τοῦτο τὸ χωρίον Δημοσθένης μὲν ἐν τῷ κατὰ Ἀνδροτίωνος (20) εἶπε· διττὴ δὲ φέρεται ἡ γραφή, ἡ μὲν ὡς προγέγραπται, ἡ δὲ ἀντὶ τοῦ αὐτῇ αὐτὴν ⟦δὲ⟧ λέγει κατ' αἰτιατικήν· καὶ ἡ μὲν κατ' αἰτιατικὴν προαγομένη τοιοῦτον ἔχει τὸν νοῦν· ἀνελοῦσα τοῦτον τὸν νόμον ἤτοι

---

1. 2 B 396, 22, vgl. Et. magn. 106, 33 (aus Diogenian) Hes. Ἀνείρων 3 B 396, 19 C Sui. 4 Sui. 5 B 396, 20 C Sui. Hes. 6 B 396, 22 C Sui. Hes. 7. 8 B 396, 29 Sui. (vgl. Phryn. Bek. 29, 14). 9 B 396, 31 C Sui. 10 B 396, 33 Sui. (C fehlt ἐκρότουν) 11 B 396, 32 C Sui. 17 Hes. 19 aus Phrynichos (?) 20 aus Phrynichos (Bek. 3, 25), vgl. B 401, 4 21 B 397, 1 Sui. Zwei Teile: 1) bis μικρολόγος vgl. Et. cod. D (Gaisf. col. 266 B); 2) C, vgl. Hes. Ἀνελευθέρως 22— p. 132, 3 B 397, 3 Sui. aus Harp.

---

2 χρυσωστεφα b χρυσῶν τεττίγων cod. Thud. siehe Hude zu IV 121, 1 4 Ἀνίμουν *b* 10 Lies Ἀνεκυμβαλίαζον (vgl. Il. 16, 379) 12 Lies Ἀνεκάγχασε 13 μέγα]μάλα Plat. 14 τοῦ *b* 15 εἰσιν] ἦσαν *b* 20 Ἀνέλκειν ταῖς *b* Ἀνέλκειν τὰς ὀφρῦς (mit der Erklärung μέγα φρονεῖν καὶ ὑπερήφανον) B unmittelbar vor Phrynichos-Glosse 22 αὐτήν *b* B Sui. lies αὐτῇ 24 φαίνεται *b* 25 αὐτὴ αὐτὴν *b* 26 προσαγομένη *b*

παραβᾶσα [[καὶ]] διαχειροτονίαν περὶ αὐτῆς ἔδωκεν, ὅτι χρὴ στεφανοῦν αὐτήν· ἡ δὲ κατὰ δοτικὴν· ἀνελοῦσα τοῦτον τὸν νόμον ἐχειροτόνησεν ἐκεῖνον ἑαυτῇ.

'Ανέλπιστον βίον· τὸν κάλλιστον εἰρήκασιν 'Αττικοί, ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτόηνται, ἀλλὰ πάρεστιν ἤδη τὰ ἀγαθά. οὕτως Πίνδαρος(?).

'Ανελπίστως· τὸ ἀπροσδοκήτως ἐν τῷ περὶ τοῦ στεφάνου Δημοσθένης (?).

'Ανέμητα· ἀμέριστα.

'Ανεμοκοῖται· οἱ ἀνέμους κοιμίζοντες· γένος δέ φασι τοιοῦτον ὑπάρχειν ἐν Κορίνθῳ.

'Ανεμοτρεφές· τὸ ἐν εὐηνέμοις τόποις τεθραμμένον· εὔτονον γὰρ τοῦτο.

'Ανεμῶναι· μάζης τι γένος. καὶ φίλημα δέ τι οὕτω καλεῖται. καὶ ἡ μήκων. οἱ δὲ πᾶν φυτὸν τὸ ταχέως ὑπὸ ἀνέμων φθειρόμενον.

'Ανενεχθείσας· ἀνενεγκούσας.

'Ανέντες· ἀναπείσαντες.

'Ανεξέλεγκτος· ἀβασάνιστος, ἀγύμναστος, ἀδόκιμος.

'Ανεξεύρετα· ἐν γ' Θουκυδίδης (87)· 'ἀνεξεύρετος ἀριθμός.' οὕτως δὲ καὶ 'Ελλάνικος κέχρηται.

'Ανεξίτητον· ἀνεξέλευστον.

'Ανεξέταστος· Δημοσθένης δ' Φιλιππικῶν (4,36) καὶ Αἰσχί-
105v νης ἐν τῷ κατὰ Κτη|σιφῶντος (22).

'Ανέξοδον· Εὐριπίδης ἐν 'Ερεχθεῖ εἴρηκεν.

'Ανέπαλτο· ἀνεπήδησεν.

'Ανεπάτησας· κατεπάτησας.

'Ανέπαφον· ἀνεύθυνον, καθαρόν, ⟨ἀ⟩θιγές. ἀψηλάφητον.

4—6 B 397, 15 Sui., vgl. Arsenios **7. 8** B 397, 18 **9** B 397, 13 Sui. Hes. **10. 11** B 397, 21 Sui. Hes. Eust. 1645, 41 **12. 13** B 397, 19 C. Sui., vgl. oben S. 129, 18 **14. 15** Vgl. Hes. **16** B 397, 23 Sui. **17** B 397, 14 C, vgl. Eust. 1846, 21 **18** B 397, 25 Sui., vgl. Hes. (C 'Ανεξελέκτως· ἀπείρως ἀβασανίστως ἀγυμνάστως. ἤγουν ὁ ἀδόκιμος ἄνθρωπος) **21** B 397, 24 C Sui. Hes. **25** B 397, 26 C Sui. **26** B 397, 27 Sui. **27** Sui. (mehr). Zwei Teile: 1) bis ἀθιγές B 397, 30 C (der nach καθαρόν einschiebt ὑγιές); 2) Hes. (hierzu das bei Sui. erhaltene Menanderzitat).

---

6 und 8 Die Zitate scheinen verstellt 12 'Ανεμοτροφές *b* 18 'Ανεξέλεκτος *b* vgl. C 22 δ'] α' *b* vgl. 72, 18 und 24



Ἀνεπαφρόδιτος· ὁ μὴ ἐπίχαρις καὶ ἀηδής.

Ἀνεπαχθές· ἀβαρές, ἐλαφρόν.

Ἀνεπίδικα· τῶν μὴ θεμένων διαθήκας ἐπιδικάζεσθαι τοῖς κλήροις ὁ νόμος συγχωρεῖ τοὺς ἐγγυτάτω γένους, ὅσα ὡς υἱός τις ἢ υἱδοῦς τοῦ τετελευτηκότος ἀξιοῖ κατέχειν. ταῦτα ἀνεπίδικα λέγεται.

⟨Ἀ⟩νεπιεικές· οὐκ ἐπιεικές, ἀλλὰ κακόν. Ἀριστοφάνης καὶ Αἰσχίνης (?).

Ἀνεπικλήρωτοι· οἷον ἄνευ τοῦ κληρώσασθαι. Ἰσαῖος.

Ἀνεπίληπτον· ἄμεμπτον.

Ἀν⟨ε⟩πίκλητος καὶ ἀνεπικλήτως φασί, καὶ ἀνεπικλητότερον, ὡσαύτως καὶ τὸ ⟨Ἀ⟩νέγκλητος.

Ἀνεπίπληκτος· ᾧ οὐδεὶς ἐπιπλήττει ἁμαρτάνοντι.

⟨Ἀ⟩νεπιστάτητον· ἀφύλακτον.

Ἀνεπόπτευτον· τὸ μὴ ὑποπτεῦον· οὕτως Ὑπερείδης (fr. 174 Bl.). τὸ δὲ ἐποπτεῦσαι καὶ ἐποπτικά, ὡς Φιλόχορος (fr. 148 M.) δηλοῖ πρὸς Δημήτριον.

Ἀνέριστα· ⟨ἀ⟩φιλονείκητα.

Ἀνερμάτιστον· ἀστήρικτον, ἄοπλον, ἀπαρασκεύαστον.

Ἀνεργήσει· ἀναρτήσει καὶ οἷον κωλύσει.

Ἀνερρίπιζεν· ἀνεκίνει, ἐτάρασσεν, ἀνήγειρεν.

Ἀνερρίπτουν· ἀνελάμβανον.

Ἀνέρριπται κύβος· οἷον ἀποκεκινδύνευται.

Ἀνερριχῶντο· ⟨εἰς⟩ τὰ προσάντη ἀνέβαινον χερσὶν ἀντιλαμβανόμενοι καὶ στηριζόμενοι.

Ἀνέρριψαν· ἀνέβαλον, ἢ ἀπηρνήσαντο, ἢ ἀνεβάλλοντο.

Ἀνέρρωγε· Φερεκράτης Τυραννίδι· 'ὥστ' ἀνέρρωγε⟨ν⟩ τὸ φώνημα εὐθὺς ὀξὺ καὶ μέγα.'

---

1 B 397, 31 Sui., vgl. Et. magn. 104, 23 3—5 B 398, 2 Sui. 9 B 397, 28 C Sui., vgl. Hes. 10. 11 B 400, 23, vgl. oben S. 128, 23 12 B 398, 7 Sui. (mehr) 13 B 397, 29 C Sui., vgl. Hes. 14—16 B 398, 11 Sui. (beide mehr) aus Harp. 17 B 397, 32 Sui. (C Ἀνέριστον — τον.) 18 B 398, 9 Sui. (C ἀστήρικτον ἄστατον ἄοπλον), vgl. Schol. Plat. Theaet. 144 a 19 B 398, 10 Sui. aus Timaios, vgl. Hes. Ἀνέρσει 20 B 398, 18 C Sui., vgl. Hes. 21 B 398, 19 C Sui. 22 B 398, 26 Sui. 23. 24 Sui. Ἀναρριχᾶσθαι (vgl. Phrynichos Bek. 19, 25, anders B 398, 20 Sui. Ἀνερριχῶντο) 25 B 398, 22 Sui. (mehr), beide = C (nur fehlt ἢ ἀπηρνήσαντο)

---

1 ἐπιχαρής *b* 13 Ἀνεπιστεύτητον *b* 14—16 von Photios verkürzend entstellt

Ἀνερωτῷ· ἐπὶ εὐκτικοῦ τρίτου προϲώπου· περιϲπᾶται δὲ τὰ τοιαῦτα. λέγουϲι δὲ καὶ ἐῷ ἀντὶ τοῦ ἐώη. ἡ λέξιϲ Διογενιανοῦ.

⟨Ἀ⟩νέϲαντεϲ· ἀνακαθίϲαντεϲ.

Ἀνεϲία· ἄνεϲιϲ. εἴρηται ἀπὸ τοῦ ἀνεῖϲθαι. Κρατῖνοϲ Βουκόλοιϲ (fr. 20).

Ἀνεϲίμου· ἀνήλιϲκε, κατεδαπάνα.

Ἀνεϲκευαϲμένοι· τὰ ὅπλα ἐνδυϲάμενοι.

Ἀνεϲκιρτημέναι· Εὔπολιϲ (fr. 22) ἐπὶ τῶν αἰγῶν εἴρηκεν.

Ἀνεϲκολοπιϲμένον· ἀνεϲταυρωμένον· ϲκόλοπεϲ γὰρ τὰ ὀρθὰ ξύλα, ἢ καὶ κάλαμοι.

Ἀνεϲκευάϲαντο· τὸ ἀναϲτάτουϲ γενέϲθαι καὶ οἷον ἀπείπαϲθαι.

⟨Ἀ⟩νέϲπακεν· ἀνεύρηκεν, εἴληφεν. Μένανδροϲ Ῥαπιζομένῃ (fr. 429)· ‛πόθεν γάρ, ὦ φίλοι θεοί, τούτουϲ ἀνέϲπακε τοὺϲ λόγουϲ.’

Ἀνεϲτάλη· ἐϲείϲθη, μετεκινήθη.

Ἀνέϲτιοϲ· ἄοικοϲ.

Ἀνεϲτομώθηϲαν· ἀνεκρούϲθηϲαν, ἢ ἐπληρώθηϲαν.

Ἀνεϲύρατο· ἐγύμνωϲεν.

Ἀνέϲφηλεν· ἀνέζηϲεν.

Ἀνέϲχετο· ἀνέτεινε.

Ἀνεϲτόμωϲε τὰϲ τάφρουϲ· ἀντὶ τοῦ ἀνέῳξε. Ξενοφῶν Παιδείαϲ Ζ′ (5,15).

Ἄνετον· Ὑπερείδηϲ (fr. 72 Bl.) τὸ ἀνειμένον θεῷ ἱερόν.

Ἀνευθέτου· ἀχρήϲτου.

Ἀνεύθυνοϲ· ὁ καθαρὸϲ αἰτίαϲ καὶ κρείττων τοῦ εὐθύνεϲθαι.

Ἀνεύθυνοϲ· . . .

Ἀνέφικτον· ἀκατάληπτον.

---

1. 2 Nicht aus dem Lexikon Diogenians **3** B 398, 24 C Sui., vgl. Hes. **4. 5** B 395, 27 Sui. Ἀνεϲίαν **6** B 398, 25 C, vgl. oben S. 121, 21 Ἀναϲιμοῦν **7** B 398, 29 C Sui. **8** aus Phrynichos (Bek. 16, 20) **9. 10** B 398, 30 C Sui. (ἢ καὶ κάλαμοι fehlt C) **11** B 398, 32 Sui. aus Harp. **12—14** B 399, 3 Sui., vgl. Hes. Ἀνεϲπάκαϲιν, Et. cod. D (Gaisf. col. 266 F) **15** B 399, 1 Sui. Hes. **16** B 399, 7 C Sui., vgl. Hes. Et. magn. 104, 30 **17** B 399, 2 C Sui. **18** B 399, 8 C Sui. **19** B 399, 9 C Sui. Hes. **20** B 399, 10 C Sui. **23** B 399, 12 Sui. aus Harp. (vgl. An. Ox. II 489, 22) **24** B 399, 11 C Sui. Hes. **27** B 399, 13 Sui.

---

11 ἀνείπαϲθαι *b* 13 Lies ἀνεϲπάκ ⟨αϲιν οὗτοι⟩ τοὺϲ λ. (der Schreiber wollte Übereinstimmung mit dem Lemma) 18 Ἀνερύϲατο B falsch 25 κρεῖττον *b* 26 Ohne Zeichen der Lücke *b*

'Ανευφήμησεν· ἀντὶ τοῦ ἐθρήνησεν· Πλάτων (Phaed. 60a).

'Ανεφθάρη· ἀντὶ τοῦ μετὰ φθορᾶς ἀνέστη. Κρατῖνος Ὥραις.|

'Ανεφόρησαν· ἀντὶ τοῦ ἀνήνεγκαν. Θουκυδίδης δ' (IV 115). *106r*

'Ανεφυσῶντο· ἐμετεωρίζοντο.

'Ανέφυ· ἀνέζησεν.

'Ανέφαπτον· ἧς οὐδεὶς ἐφάπτεται. Θουκυδίδης (?).

'Ανεχαίτισεν· ἀνέκοψεν, ἢ ἀνέτρεψεν.

'Ανέχειν· τὸ ἀνατέλλειν τὸν ἥλιον ἢ τὴν σελήνην. λέγεται καὶ τὸ ἐξέχειν καὶ προέχειν. Θουκυδίδης δ' (111). καὶ τὸ κωλύειν, ὡς ὁ αὐτὸς ἐν ϛ' (86), καὶ τὸ διαβαστάζειν καὶ φέρειν, ὃ καὶ ἀνέχεσθαι καὶ ἐπανέχειν λέγεται.

'Ανέχει· σῴζει. οὐχ ὥς τινες ἀντὶ τοῦ ἐπέχει. καὶ Θουκυδίδης (I 141)· 'αἱ περιουσίαι τῶν χρημάτων τοὺς πολέμους ἀνέχουσιν,' ἀντὶ τοῦ σῴζουσιν.

⟨'Α⟩νέχεσθαι τοῦτον, οὐχὶ τούτου. Εὔπολις Βάπταις· 'οὐκ ἀνέχομαι αὐτόν· ἀντιπράττει παρὰ μέλος.' οὕτως Μένανδρος (vgl. fr. 26) καὶ Δημοσθένης (z. B. 18, 160).

'Ανεχρήσαντο· διέφθειραν. οὕτως Θουκυδίδης (?). σημαίνει δὲ καὶ τὸ εἰς χρείαν τινὰ παρειλήφασιν.

Ἄνεχε· πάρεχε. Θεόπομπος (fr. 82 K.).

'Ανεψιάδαι· 'Αριστοφάνης (fr. 745). καὶ 'Ανεψιαδοῦς Φερεκράτης (fr. 203), καὶ Ἕρμιππος (fr. 86) 'Ανεψιαδοῦν. καὶ Δημοσθένης ἐν τῷ περὶ 'Αγνίου κλήρου παρατίθεται νόμον, ἐν ᾧ γέγραπται· 'καὶ πενθεροὺς καὶ ἀνεψιαδοῦς.' καὶ ἀνεψιότης ἐν τῷ αὐτῷ (43, 63). κέχρηνται δὲ τῇ λέξει Πλάτων, Ξενοφῶν (?) καὶ Λυσίας (fr. 299 S.).

'Ανέῳγεν· οὐχὶ ἤνοιγεν· καὶ ἀνεῴγετο λέγουσι, καὶ Θρασυλέων (Menander fr. 243) ἐν τῇ γ'· 'ἡ δ' ἀνέῳγε τὴν θύραν.' Θετταλῇ (fr. 229)· 'καὶ τὸ κεράμιον ἀνέῳχας.' Εὔπολις Πόλεσιν (fr. 220)· 'ὧν

